V. 54. καὶ φιλ. *A*. — τὸν φακὸν sic cum a, c, k, m, p, s, v, w, Γ, Colb. Taur. Vat. 3, 6, 8, 10, 12, *A*. D. J. Q. Y, Junt. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. τὼς φακὸς quod G. Z. Med. Ald. Call. Reisk. Harles. τὼς φακὼς F. O. sic a man. 1ª, in N, et corr. τὸν φακὸν. — ἕψῃν Vat. 10, L. P. Brunck.

ΕΔΙΝΝΥΣΑΙ, ἀναπαυθῆναι. s. l. M. ΤΟ ΚΑΥΜΑ, κατὰ τὸ μεσημέριον. s. l. M.

52. ΣΧΟΛ. ΠΑΛ. ΕΥΚΤΑΙΟΣ. Μακάριος. ἐπισκώπτει δὲ τὸν ἐργοδότην, ὡς μὴ αὔταρκες ποτὸν παρεχόμενον. εὐκτὸς δὲ ὁ εὐχῆς ἄξιος, καὶ εὐκταῖος· ἀπευκτὸς δὲ καὶ ἀπευκταῖος, ὁ μισητός. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΥΚΤΟΣ, ὁ λόγος πρὸς τὸν ἐργοδότην. εὐκτός, παρόσον ὁ βάτραχος οὐ λείπεται ὕδατος. J. ἐπισκώπτει τὸν ποτὸν αὐτοῖς παρεχόμενον ὡς βραδέως διδόντα. M. ΟΥ ΜΕΛΕΔΑΙΝΕΙ, οὐ διὰ φροντίδος ἔχει. s. l. M. οὐ φροντίζει. C. οὐ ζητεῖ, s. l. *A*.

53. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟ ΠΙΕΙΝ, τὸ ποτόν. s. l. N. ΕΓΧΕΥΝΤΑ, δώσοντα. s. l. M. διδόντα. s. l. L. P. παρέχοντα. s. l. N. ἔχοντα τὸν χέοντα. s. l. C. ΑΦΘΟΝΟΝ, πολύ. s. l. M.

54. ΣΧΟΛ. ΠΑΛ. Ὁ λόγος πρὸς τὸν ἐπιστάτην τῶν θεριστῶν, ὀλίγην τροφὴν αὐτῷ παρεχόμενον. Ἄλλως. τὸ ΕΠΙΜΕΛΗΤΑ ἀντὶ τοῦ ὦ ἐργοδότα· ὃν δὴ ἐργοδότην φιλάργυρόν φησι. Τὸ δὲ τὸν ΦΑΚΟΝ ΕΨΕΙΝ παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν τὸ κρέας. ἢ κάλλιον, ὦ ἐπιστάτα, ἕψειν σε τὸν φακὸν ὁλόκληρον. καὶ ὅρα ἵνα μὴ ΕΠΙΤΑΜΗΙΣ, ἤγουν σχίσῃς τὴν

Digitized by Google

Μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρέων τὸ κύμινον. 55
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδεν·

V. 55. μή τι τάμῃς J. Q. μὴ τοι τάμῃς p, C. sic B, D, in quibus corr. μή τι τ. — τὴν χ. p, Ott. Y. Z, Ald. — διαπρέων Stob. et sic corr. in B. — τὸν pro τὸ p.

V. 56. Hic versus præscriptum habet ΜΙΛΩΝ in p, H. — μοχθεῦντες man. 1ª, et corr. μοχθεῦντας Z. — ἁλίω p. — ἀείδειν Y. ἀήδην Vat. 10, L.

χεῖρα καταπρέων αὐτὸν δηλονότι, ὡς οἱ τὸ κύμινον. καθὰ εἰώθαμεν τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας καλεῖν. σκώπτει δὲ αὐτὸν ὁ λόγος ὡς φειδωλόν. — ΣΧΟΛ. ΝΕΩΤ. Ω' ΠΙΜΕΛΗΤΑ, ὦ ἐπιστάτα τῆς ἐργασίας ἡμῶν. s. l. N. ΦΑΚΟΣ, φακὸς ὁ ἀνέψητος, φακὴ δὲ ἡ ἑψημένη. s. l. M.

55. ΣΧΟΛ. ΝΕΩΤ. ΜΗ' ΠΙΤΑΜΗΙΣ. Σκώπτει τοῦτον ὡς φιλάργυρον καὶ γλίσχρως διδόντα τοῖς θεριστὰῖς τὴν τροφὴν καὶ τὸ μίσθωμα. N. σκόπει, s. l. N. ΚΑΤΑΠΡΙΩΝ, κόπτων. s. l. M. ἠκριβωμένως σχίζων. s. l. N.

56. ΣΧΟΛ. ΠΑΛ. Τινὲς ἐκ τοῦ Μίλωνος λέγουσιν εἶναι τὸν λόγον ἀπὸ τοῦ ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει βῶκος ἀοιδὰς μέχρι τέλους τοῦ εἰδυλλίου. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τοῦ Μίλωνός ἐστιν ὁ λόγος τὸ ἦ καλὰς ἄμμε ποῶν μέχρις ὦμοι τοῦ πώγωνος, ὃν ἀλιθίως [1] ἀνέψυσας· τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα λέγουσι τὸν Βάττον λέγειν μέχρι τοῦ μὴ ἐπιτάμῃς τὴν χεῖρα καταπρίων τὸ κύμινον· τὸ δὲ ἑξῆς ὡς ἀπὸ τοῦ Μίλωνος, ἤτοι τὸ ταῦτα χρὴ μοχθεῦντας, καὶ τοὺς μετὰ ταῦτα δύο στίχους. Ἄλλως. Ταῦτα χρὴ μοχθεῦντας] ταῦτα, τὰ μέλη τὰ προειρημένα δηλονότι, χρὴ τοὺς θερίζοντας ᾄδειν, καὶ οὐχὶ ἐρωτικά, ὥσπερ σὺ ποιεῖς, βουκαῖε δηλονότι. Ἢ ἐνδέχεται τοὺς θερίζοντας τοῦ θερισμοῦ φροντίζειν, καὶ μὴ τοῦ ἔρωτος· ὁ λόγος ἐκ τοῦ

---

(1) ἀνέψυσα Vat. 3.

Digitized by Google

Τὸν δὲ τεόν, βουκαῖε, πρέπει λιμηρὸν ἔρωτα
Μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

V. 57. ὦ βουκαῖε v. βωκαῖε F. H. N. — λοιμηρὸν g, x, Ott. G. O. Z. Ald. edd. vett. λιμηρὸν, οι sup. ι, *A*, item Q, in quo υπ sup. ιμ. λυμηρὸν c, Colb. Vat. 3, B. C. D. K. M, Call. λυμερὸν p. λιμαρὸν k.

V. 58. τῇ μητρὶ *A*. τᾷ μητρὶ w. — εὐνὴν p, w, *A*. J. K. M. — ὀρθεύοισα c, r, Vat. 8, H. Y. ὀρθευοίσα G. ὀρθευοίσῃ p. ὀρθεύκασα Vat. ap. Warton. ὀρθρευοίσα, ουσῃ sup. οίσα, *A*. ὀρθρευοίσῃ et in marg. γρ. ὀρθευοίσῃ D.

Μίλωνος. οἱ δὲ καὶ τοῖς ἐπάνω ταῦτα συνάπτουσι. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΥΤΑ, τοιαῦτα. s. l. M. ΑΕΙΔΕΝ, ᾄδειν, οὐ μὴν ἔρωτας. s. l. M.

57. ΣΧΟΛ. ΠΑΛ. Περὶ δὲ τοῦ ἔρωτός σου, ὦ Βάττε, τοῦ πτωχοῦ, προσῆκόν ἐστι τῇ μητρί σου λέγειν ἐν τῇ κοίτῃ κατὰ τὸν ὄρθρον κειμένῃ. ἢ ἀνιαταμένῃ ὄρθρου, καὶ μὴ νῦν ἐμοί. τὸ δὲ ΛΙΜΗΡΟΝ ἀντὶ τοῦ πτωχόν, ἢ χρὴ δὲ σε τὸν σαυτοῦ ἔρωτα πρὸς τὴν μητέρα λέγειν, ὅτε γρηγορεῖ ἐν τῇ κοίτῃ. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΝ ΔΕ ΤΕΟΝ, τὸν σόν, s. l. M. ΛΙΜΗΡΟΝ, τὸν σὲ λυμαινόμενον, s. l. M. βλαπτικόν. s. l. C. ἀναλωτικὸν ὥςπερ ὁ λιμός, δαμαστικόν. s. l. N. σφόδρα μέγαν. s. l. *A*.

58. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΤ' ΕΥΝΑΝ, εἰς τὴν σὴν εὐνὴν τὸ πρωΐ ἐρχομένῃ· ἔθος γὰρ ταῖς μητράσιν ἐπισκέπτεσθαι τοὺς παῖδας πρὸς τὴν εὐνὴν ἐρχομένους. s. l. M. ΟΡΘΡΕΥΟΙΣΑΙ, κατ' ὄρθρον ἱσταμένῃ. s. l. L. P. εἰς εὐνὴν γρηγορούσῃ. s. l. C.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΕΝΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

[1] Ὑπόκειται ὁ Κύκλωψ, παρηγορῶν [2] ἑαυτοῦ τὸν [3] ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς· προςδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου ἰατροῦ ὄντος καὶ αὐτοῦ. μέμνηται δὲ τοῦ Νικίου καὶ ἀλλαχοῦ ὁ Θεόκριτος.

ΑΔΑΩΣ.

[4] Ὑπόθεσις τοῦ [5] πράγματος. Ὑπόκειται [6] Πολύφημος ὁ Κύκλωψ ἐρῶν τῆς Γαλατείας, καὶ ποιῶν τὸν ἐπὶ τῇ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς· προςδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, [7] οὗ καὶ [8] ποιημάτιον φέρεται ἀντίγεγραμμένον ὑπὸ Θεοκρίτου [9] Κύκλωπος, οὗ ἡ ἀρχή,

[10] Ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ [11] Ἔρωτες
Πολλοὺς ποιητὰς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους.

---

(1) Ὑπόκειται usque ad ἀλλαχοῦ ὁ Θ. om. Y. — (2) αὐτοῦ M. — (3) ἐπὶ Γαλατείας M. — (4) Ὑπόθεσις τ. π. om. Y. — (5) ᾄσματος B. D. Q. — (6) Πολύφημος om. D. ὁ Πολύφημος K. Y. — (7) οὗ καὶ om. Q. οὗ καὶ ποιημάτιον usque ad ἀναγραφῇ om. Y. — (8) τὸ δὲ π. φ. ἀναγεγραμμένον N, Scheller. Schæfer. suspicatur : ἀντιγεγραμμένον τῷ Θεοκρίτου Κύκλωπι. *Kiessl.* — (9) πρὸς Κύκλωπα B. D. K. M. Q, Colb. Vat. 3, Call. — (10) Ἦν γὰρ ἄρα ἀληθές B. D. Q. — (11) ἐρῶντες Πολλάκι Call.

Digitized by Google

[1] Ἐπιγέγραπται δὲ Κύκλωψ ἡ Γαλάτεια. [2] Γέγονε δὲ συμφοιτητὴς Ἐρασιστράτου [3] Μιλησίου, ὥς φησι Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ Ἰατρῶν ἀναγραφῇ.

[Πρὸς Νικίαν ἰατρὸν ὁ Θεόκριτος διαλέγεται. J. Q.

Ἐκ παιγνίων λάμβανε διδασκαλίαν· Λόγον ἀτορεστὴν τυγχάνειν παθημάτων. J. L. M. P. Q.

Δωρίδι. Διηγηματικόν. M.]

---

(1) Ἐπιγέγραπται δὲ Κύκλωψ ἡ Γαλάτεια. om. B. Q. — (2) Γέγραφε δὲ [φέρεται δὲ M.] καὶ ἐπιγραμμάτιον Ἐρασιστράτου ἰατροῦ Μιλησίου, ὥς φησι Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ ἰατρῶν ἀνατροφῇ, (ἀναστροφῇ Colb. ἀναγραφῇ Call.) Οὐδὲν ἔρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι, Εἰ μὴ ἡ παιδεία καὶ αἱ Μοῦσαι. Ταύταις γὰρ ὁ Κύκλωψ πρὸς διαγωγὴν τοῦ ἔρωτος τῆς Γαλατείας ἐχρῆτο. καὶ Φιλόξενος τὸν Κύκλωπα ποιεῖ παραμυθούμενον ἑαυτὸν ἐπὶ τῷ τῆς Γαλατείας ἔρωτι, καὶ ἐντελλόμενον τοῖς δελφῖσιν, ὅπως ἀπαγγείλωσιν αὐτόν, ὅτι ταῖς Μούσαις τὸν ἔρωτα ἀκεῖται. καὶ Καλλίμαχος, Ὡς ἀγαθὸς Πολύφαμος ἀνεύρατο τὰν ἀοιδάν, Αἱ Μοῦσαι τὸν ἔρωτα κατίσχανον. B. D. L. Q. — (3) ἰατροῦ addit Scheller.

Digitized by Google

Νικία, οὔτ' ἔγχριστον (ἐμὶν δοκεῖ), οὔτ' ἐπίπαστον,

V. 2. ἐμοὶ g, l, x, Ott. Vat. 6, 10, G. K. L. M. N. O. P. Z, Ald. vett. edd. sola Commelin. ἐμὶν. — δωκεῖ, v, w. δοκεῖν P. parenthesin om. p. — οὐδ' g, x, Vat. 6, 10, L. O. P. Z, Ald. Call. — ἐπίπλαστον Taur. B. D, in quo corr. ἐπίπαστον. ἐπίπιστον d, s, x, G. J. L. N. O. P. Y, item *A*, in quo α sup. πι.

ὡς ἰατρὸς καὶ φίλος ταῖς Μούσαις. καὶ τούτου παράδειγμα ὁ Κύκλωψ. εὐκολώτατα γὰρ ἐκεῖνος ἐθεράπευε τὸν ἔρωτα μελουργῶν, καὶ ταῖς Μούσαις προσέχων, ὅτε ἠράσθη τῆς Γαλατείας νέος ὢν καὶ ἄρτι τὴν ἔκφυσιν τῶν γενείων ἐν τῷ πώγωνι δεικνύων. ἐκινήθη δ' εἰς ἔρωτα, οὐχ ὑπὸ μήλων, ἢ ῥόδων, ἢ ὑπὸ φαύλων τινῶν λέγω ΚΙΚΙΝΩΝ, τουτέστι τριχῶν, ἀλλ' ὑπ' ὁλοῶν μανιῶν. ὥςτε καὶ τὰ προςόντα αὐτῷ ἡγεῖσθαι πάρεργα. καὶ γὰρ αἱ ὄϊες αὐτοῦ ᾄδοντος ἐπὶ τῆς ἠϊόνος, ἐκ τῆς νομῆς μόναι ἐπανῆλθον εἰς τὸ ΑΥΛΙΟΝ, τουτέστιν εἰς τὴν μάνδραν. αὐτὸς δὲ καθήμενος ἤδεν ἔχων ἐκ τῆς Ἀφροδίτης ἐγκάρδιον ἕλκος, ὅπερ ἐνέπηξε τῷ ἥπατι αὐτοῦ. Ἰστέον ὅτι τῶν φαρμάκων τὰ μέν εἰσι ΧΡΙΣΤΑ, ἤγουν, ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δὲ ποτά, ἤγουν ἅπερ πίνομεν· τὰ δὲ ΕΠΙΠΑΣΤΑ, ἤγουν, ἅπερ ἐπιπάττομεν. ΤΡΙΚΛΙΝΙΟΥ. Τὴν σοφίαν μόνην φησὶ δύνασθαι τοὺς ἔρωτας καταστέλλειν, τἄλλα δὲ τῶν φαρμάκων ἀδυνάτως ἔχειν. εἴδη δὲ φαρμάκων τέσσαρα· βρωτόν, πιστόν, χριστόν, καὶ παστόν. βρωτὸν μὲν οὖν ἐστὶ τὸ τρωγόμενον, πιστὸν δὲ τὸ πινόμενον, χριστὸν τὸ χριόμενον, παστὸν δὲ τὸ παττόμενον. ἀλλὰ καὶ τούτου οὕτως ἔχοντος, οὐ ῥᾴδιόν φησιν εὑρεῖν. ὀλίγοις γὰρ σοφίας καὶ μουσικῆς μέλει, καὶ ὀλίγοι τούτων ἐφικνοῦνται. M. Q — ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΤΟΝ, πρός. s. l. M. N. ΠΕΦΥΚΕΙ, ὑπάρχει. s. l. M. πέφυκε. s. l. L. N. P. ΦΑΡΜΑΚΟΝ, θεραπείαν φέρον. s. l. M.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΕΓΧΡΙΣΤΟΝ, χριόμενον. s. l. M. N. ΕΠΙΠΑΣΤΟΝ, ἢ τὸ πινόμενον, ἢ τὸ ἐπιπασσόμενον. s. l. L. P. ἐπιπασσόμενον ἢ δι' ᾠδῆς γινόμενον. N. πασσόμενον. s. l. M.

Digitized by Google

Ἡ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρῆν δ' οὐ ῥᾴδιον ἐντί.
Γινώσκεν δ' οἶμαι τὺ καλῶς, ἰατρὸν ἐόντα, 5
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.

V. 3. δέ τοι v, Colb. Taur. B. C. L. — ἁδὺ Ott. ἡδύ L.

V. 4. ἐγίνετ' Y. — ἀνθρώπους a, c, d, p, w, x, Colb. Taur. B. C. D. G. J. K. M. P. Q. — εὕρειν v, w. εὑρῆν Stop. εὑρεῖν p, *A*. F. J. K. M. Q. Y. — ἐντί sic cum c, p, w, Colb. Taur. Vat. 3, Q. Valck. Gaisf. Kiessl. pro vulgat. ἐστι quod Ott. Y. Z. Reisk. vett. edd. Harles.

V. 5. γινώσκην Vat. 5. γινώσκῃν L. γιγνώσκειν v, w. γινώσκειν p, Y. — τὺ et in marg. τοι D.

V. 6. πεφιλημένον v.

---

3. Σχολ. παλ. [1] Τὸ κατὰ φιλοσοφίαν ἐρᾶν, κουφότατον παρέχει τὸ πάθος· ἤγουν, συντόμως γίνεται ἡ σοφία· καὶ σύντομον τὸ μουσικὸν εἶναί τινα. — Σχολ. νεωτ. Ἡ ταὶ Πιερίδες, παρὸ αἱ Μοῦσαι, αἱ ᾠδαί, s. l. L. P. οἱ λόγοι. C. μοῦσαι, λέγει δὲ τὰς ᾠδάς. s. l. N. Κουφον, ἐλαφρόν. s. l. C. M. τὸ αὐλεῖν, s. l. L. P. ἡδύ, s. l. *A*. Ἁδυ, ἡδύ, εὐφραντικόν. s. l. M.

4. Σχολ. παλ. Τὴν φιλοσοφίαν λέγει ἢ τὴν παιδείαν, ὅτι οὐκ ἔστιν εὐχερὲς περιγενέσθαι φιλοσοφίας ἢ παιδείας. — Σχολ. νεωτ. Εὑρειν, μαθεῖν. s. l. N. Ου ῥαιδιον εστι. Τὸ διὰ μούσης καὶ ᾠδῆς ἄγειν τὸν ἔρωτα κοῦφον τέ ἐστι καὶ ἡδύ· τὸ δὲ περιγενέσθαι σοφίας, οὐ ῥᾴδιον. J. L. χωρὶς δὲ παιδείας οὐ κατορθοῦται. s. l. L. N. P. Ῥαιδιον, εὔκολον. s. l. M.

6. Σχολ. νεωτ. Πεφιλαμενον, πεφιλημένον s. l. M. Εξοχα, λίαν. s. l. M.

---

(1) τ. κ. τὴν φιλοσοφίαν τῷ ἔρωτι κουφότατον π. τῷ πάθει Vat. 3.

Digitized by Google

Οὕτω γοῦν ῥᾴιστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,
Ὦ 'ρχαῖος Πολύφαμος, ὅκ' ἥρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
Ἥρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίνοις, 10

V. 7. γ' οὖν Ott. — ῥᾷστα v, w, G. Vat. ῥάστον c. ῥᾷστον K. M. — διάγων c, w, K. M. διῆγ' Y. — ἁμῖν sic cum *A*, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἡμῖν quod Y. Z. Reisk. Harles. edd. vett.

V. 8. ἀρχαῖος p, Colb. C et D, in quo corr. ὥρχαῖος. — ὅκκ' F. ὅτ' L. P. Z, Ald. Call. ὁτ' Ott. — ἤρετο Vat. 8, G. ἔρατο v, w. — τῆς Ott. Z, Ald. Junt.

V. 9. τὸ om. v, Q. — των κροταφούς τε sic w ap. Warton. κροτάφως γε K.

V. 10. οὐ μάλοις οὔδ' αὖ ῥόδοις a. οὐ μ. οὐδ' αὖ ῥ. Vat. 5, 6, *A*. L. P. οὐ μ. οὐδὲ ῥόδοις k, p, v, w, Colb. Taur. B. C. D. J. Q. οὐ μ. οὐδ' αὖ ῥόδῳ s, Vat. 8, 9, 12, G. Y. οὔτε ῥόδοις K. M. — κικίνοις sic cum G. N. O. Y. Z. Vat. 6, vett. edd. Reisk. Harles. κικίνοις p, v, w, B. C. D. J. Q, Brunck. Valck. Gaisf. Kiessl. κικκίνοις Vat. 5, P.

---

7. ΣΧΟΛ. ΠΑΛ. Τοῦτον γὰρ τὸν τρόπον ῥᾴδιον διῆγε καὶ ὁ παρ' ἡμῖν Κύκλωψ διὰ τῶν ᾠδῶν. τὸ δὲ ΠΑΡ' ΗΜΙΝ ἐπὶ τῆς Σικελίας φέρει, καθὸ καὶ Συῤῥακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι καὶ ἡ πλάνη τοῦ Ὀδυσσέως περὶ Σικελίαν που γέγονε. — ΣΧΟΛ. ΝΕΩΤ. ΓΟΥΝ, ὑπῆρχεν, s. l. M. ΡΑΙΣΤΑ, κουφότατα, s. l. L. P. ΔΙΑΓ', ἤγουν θεραπεύων τὸν ἔρωτα. s. l. M. διέτριβε, δι' ᾠδῆς τὸν ἔρωτα παραμυθούμενος. s. l. N. Ὁ ΠΑΡ' ΑΜΙΝ, ἤγουν ὁ ἐν Σικελίᾳ ὢν τῇ ἡμετέρᾳ νήσῳ. s. l. M.

8. ΣΧΟΛ. ΝΕΩΤ. ΟΚ' ΗΡΑΤΟ, ὅτε ἠράσθη. s. l. M.

9. ΣΧΟΛ. ΝΕΩΤ. ΠΕΡΙ ΤΟ ΣΤΟΜΑ, ἤγουν ἐν τούτοις γὰρ πρῶτον τοῖς μέρεσιν ἐκφύονται τὰ γένεια. s. l. M. τὸν μύσταχα. s. l. N.

10. ΣΧΟΛ. ΠΑΛ. ΗΡΑΤΟ. Εἰς ἔρωτα ἐκινήθη· ἠράσθη οὐκ ἐλαφρῶς, ὥστε μῆλα διδόναι, ἢ ῥόδα, ἢ ἕτερόν τι εἰς τὸ καλ-

Digitized by Google

Ἀλλ' ὀλοαῖς μανίαις· ἀγεῖτο δὲ πάντα πάρεργα.

V. 11. ὀρθαῖς k, Junt. ὀλοαῖς et in marg. γρ. ὀρθαῖς D. — ἠγεῖτο p, Y.

λωπίζειν· ἢ ἠράσθη οὐκ ἐλαφρῶς, καὶ τῶν κατὰ μέρος αὐτῆς, οὔτε ῥόδων οὔτε μήλων. ΜΗΛΩΝ μὲν ἐπὶ τῆς ὄψεως· ΡΟΔΩΝ δὲ τῆς γυναικείας ἥβης, παρόσον καὶ ῥοδωνιὰν αὐτὴν ἔσθ' ὅτε [1] λέγει· ὡς [2] Κρατῖνος ἐν Νεμέσει· Ὡς τ' οὖν ἐσθίων τοῖς σιτίοις ἥδομαι. Ἅπαντα δ' εἶναι δοκεῖ ῥοδωνιὰ Καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια. ΟΥΔΕ ΚΙΚΙΝΟΙΣ, τοῖς μαλλίοις, τῇ κόμῃ· ὡς καὶ ὁ κωμικὸς κέχρηται· Ὥςπερ [3] ἐγχέλεις χρυσοῦς ἔχων κικίνους. [ΚΙΚΙΝΟΙΣ ταῖς ὑπογαστρίαις θριξί. M. in gl.] — ΣΧΟΛ. ΝΕΩΤ. ΗΡΑΤΟ, τὸν ἔρωτα διῆγε. s. l. L. P. ΟΥΤΕ ΡΟΔΟΙΣ, ἤγουν οὐ μερικῶς, s. l. M. ΚΙΚΙΝΟΙΣ, κόμαις, s. l. N.

II. ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΛ' ΟΛΟΑΙΣ ΜΑΝΙΑΙΣ. Τεταμμέναις, ἰσχυραῖς, τουτέστι γενικαῖς ἐπεμάνη αὐτῇ μανίαις, ἤγουν ἄκρον καρδίας ἐνόσησε. L. P. ἤγουν σφοδρῶς καὶ μανικῶς. s. l. M.

---

(1) φασίν M. Hinc patet verum esse λέγουσι quod reposuit Hemsterhusius pro vulgat. λέγει. *Gaisf.* — (2) Cratini locum ita scribit Toupius :

> Ὡς ἐσθίων συνήδομαι τοῖς σιτίοις,
> Ἅπαντα δ' εἶναί μοι δοκεῖ ῥοδωνιά,
> Καὶ μῆλα, καὶ σέλινα, καὶ σισύμβρια.

Idem fragmentum quod sequitur, ex Aristophane, ut videtur, desumtum, ita digerit :

> — Ὥςπερ ἐγχέλεις ἔχων
> Χρυσοῦς κικίνους. — *Kiessl.*

— (3) ἐγχέλυς E, Call. Gaisf.

Digitized by Google

Πολλάκι ταὶ ὄϊες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας. ὁ δὲ τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσας
Ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος, 15

V. 12. πολλάκις *A*. — ταί δ' ὄϊες Vat. 3. τέτ' ὄϊες Q. τε ὀΐς v. οἴδες p. ταὶ ὄρεος G. — τ' ὠὔλιον sic cum Reisk. Harles. τὠὔλιον c, Vat. 10, K. M. Wintert. Warton. Brunck. Kiessl. τ' αὔλιον *A*. ταὔλιον Call. Steph. Valck. — αὐταί τ' h, k, F. αὐταίτε v. — ἀπῆλθον *A*. Y.

V. 13. χλορᾶς N. — τὴν Ott. Z. Ald. Call. vett. edd.

V. 14. αὐτὸς c, w, Colb. Taur. B. J. K. M. Q, cum αὐτῶ pro var. l. αὐτοῦ e, s, Y, Junt. — ἠίονος Y. — ἐτάκετο h, v, F. κατήκετο K. κατάκετο M. — φυκιοέσσης Y. Z.

V. 15. ἄχθιστον B. D.

---

12. ΣΧΟΛ. ΠΑΛ. ΑΥΤΑΙ ἀντὶ τοῦ μόναι· [1] Ὅμηρος· Τυδείδης δ' αὐτὸς πονέων. ἀντὶ τοῦ αὐτόματος καὶ μόνος. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΙ Τ' ΩΥΛΙΟΝ, πρὸς τὰ σταθμά. s. l. N. τὸ αὔλιον ἤγουν τὴν μάνδραν. s. l. M. ΑΠΗΝΘΟΝ, ἑσπέρας καταλαβούσης. s. l. M.

13. ΣΧΟΛ. ΝΕΩΤ. ΧΛΩΡΑΣ ΕΚ ΒΟΤΑΝΑΣ, ἤγουν κορεσθεῖσαι βοτανῶν μόναι ὑπέστρεψαν εἰς τὴν μάνδραν. s. l. M.

14. ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΟΝΟΣ, τοῦ αἰγιαλοῦ, s. l. M. ΚΑΤΕΤΑΚΕΤΟ, κατετήκετο, ἐδαμάζετο. s. l. M. διερρεῖτο s. l. N. ΦΥΚΙΟΕΣΣΑΣ, τῆς βρία (sic) ἐχούσης. s. l. M. καὶ τῆς ἔρια ἐχούσης. s. l. P. βρυώδους, s. l. N.

15 ΣΧΟΛ. ΝΕΩΤ. ΕΞ ΑΟΥΣ, ἤγουν ἐκ πρωΐας. s. l. C. M. ἔωθεν. s. l. N. ΕΧΘΙΣΤΟΝ, βαρύ, μισητόν. s. l. L. M. P. ΥΠΟΚΑΡΔΙΟΝ. Ἤτοι τῷ ὑπὸ τὴν καρδίαν ἥπατι· ἐν τούτῳ γὰρ τὸ ἐπιθυμητικόν. Q. ἐν τῇ ψυχῇ, ἤγουν ἐν τῷ ὑπὸ τὴν καρδίαν ἥπατι. ἐν τούτῳ γὰρ τὸ ἐπιθυμητικόν. s. l. M. ΕΛΚΟΣ, τραῦμα, s. l. N.

---

(1) Il. Θ, 99. αὐτός περ ἐών. *Hemsterh.*

Digitized by Google

Κύπριδος ἐκ μεγάλας, τό οἱ ἤπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;

V. 16. Κύπριδος c, e, h, k, p, s, v, w, Colb. Vat. 3, 8, 9, 12, A. B. C. D. F. G. J. K. L. M. Q. Y. Κύπριδες Vat. 5. — τὸ οἱ sic vulgo cum B. F. J. K. L. M. N. O. Q. Z, et D, in quo suprasc. ἡ οἱ, Reisk. Harles. ἡ οἱ p, w, Vat. 8, 9, Q pro var. l. ἅ οἱ Brunck. Valck. Gaisf. Kiessl. in vers. — πᾶξαι p. πῆξε F.

V. 17. καθεζόμενος sic cum F. M. Reisk. Harles. vett. edd. καθεσδόμενος K. Brunck. Kiessl. — καθεζόμενος ἐπὶ et corr. γὰρ ἐπὶ M.

V. 18. ἄειδεν K. τοιαῦτ' ἤειδεν g, l, x, Ott. N. O. Z. Ald. Med. τοιαῦτ' ἄειδε d. ταῦτα K.

V. 19. ὦ om. G.

---

16. ΣΧΟΛ. ΝΕΩΤ. ΚΥΠΡΙΟΣ, Ἀφροδίτης, ἰωνικῶς τὸ Κύπριος. s. l. L. Το, ὅπερ, s. l. P. Οἱ, αὐτῷ, s. l. M. ΒΕΛΕΜΝΟΝ, βέλος λέγω. s. l. M.

17. ΣΧΟΛ. ΠΑΛ. Ἀλλὰ [1] τετρωμένος ὑπὸ τῆς Ἀφροδίτης εὗρε ΤΟ ΦΑΡΜΑΚΟΝ, τουτέστιν τὴν θεραπείαν. Καθεζόμενος γὰρ ἐπάνω τινὸς πέτρας ὑψηλῆς μέλη τινὰ συνετίθει ἐμμούσως, [2] πρὸς τὴν θάλασσαν βλέπων. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΛΑ ΤΟ ΦΑΡΜΑΚΟΝ ΕΥΡΕ. Ἤγουν τὴν διὰ τῆς ᾠδῆς παραμυθίαν. L. N. P.

18. ΣΧΟΛ. ΝΕΩΤ. ΥΨΗΛΑΣ, ἐπ' ἀκρωτηρίου. s. l. C.

19. ΣΧΟΛ. ΠΑΛ. ΑΠΟΒΑΛΛΗι. Μισεῖς, ἀποῤῥίπτεις. ἀποβάλλω γὰρ τὸ ἀποῤῥίπτω· προςβάλλω τὸ προςκρούω· ὡς τὸ προςβάλλουσιν οἱ πολέμιοι τῷ τείχει τῆς πόλεως· περιβάλλω τὸ ἐνδύω· ὅθεν καὶ περιβολὴ τὸ ἔνδυμα. — ΣΧΟΛ. ΝΕΩΤ. Ω ΛΕΥΚΑ, ἀρχὴ τῆς ᾠδῆς. s. l. L. P. ΦΙΛΕΟΝΤΑ, ἤγουν

---

(1) Correxit Toupius. Antea legebatur τετραμμένος. *Kiessl.* — (2) εἰς τ. θ. M.

Digitized by Google

Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἀπαλωτέρα δ' ἀρνός, 20
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς·
Φοιτῆς δ' αὖθ' οὕτως, ὄκκα γλυκὺς ὕπνος ἔχῃ με·

V. 20. ποτιδῆν Vat. 10, 12, L. Brunck. Kiessl. hoc voc. om. F, et Z in quo πακτᾶς ἀώρου. — δ' om. s, *A*. G. Y. πακτᾶς ἀπαλωτέρα δ' ἀρνὸς ἀώρου h, F.

V. 21. μοσχω Vat. ap. Warton. μίχω *A*. — γαυοτέρα c. — φιλαιτέρα p. φιαλωτέρα Colb. Taur. B. K. φιαρωτέρα et corr. φιαλωτέρα M. αφριγαυοτέρα Call. — ὠμῆς p, Ott. Y. Z, Ald. Junt.

V. 22. φοιτᾶς v, Vat. — οὕτῶς Brunck. Gaisf. Kiessl. — οὕτῶς ὄκα p. — ἔχει Vat. Y. — Versus 22 et 23 transponuntur in p.

ἐμέ. s. l. M. ΑΠΟΒΑΛΛΗι, ἀποπέμπῃ, s. l. M. ἀποστρέφῃ, s. l. N.

20. ΣΧΟΛ. ΠΑΛ. ΠΑΚΤΑΣ. Τυροῦ πεπηγότος· ὃ οἱ Ἀττικοὶ τροφαλίδα καλοῦσι. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΚΤΑΣ, τοῦ πεπηγμένου γάλακτος, ἤγουν τοῦ τυροῦ. s. l. L. ΑΠΑΛΩΤΕΡΑ, μαλακωτέρα, s. l. M.

21. ΣΧΟΛ. ΠΑΛ. ΓΑΥΡΟΤΕΡΑ. Αὐθαδεστέρα. γαῦρος γὰρ ὁ ἐπηρμένος· καὶ [1] γαυριᾷ ῥῆμα, ἀντὶ τοῦ ἐπαίρεται. ἐκ τούτου συγκριτικόν, γαυρότερος, καὶ γαυροτέρα, θηλυκόν. ΦΙΑΡΩΤΕΡΑ, σκληροτέρα ἀώρου σταφυλῆς. ΟΜΦΑΞ γὰρ ἡ ἄωρος σταφυλὴ καὶ ἡ ἄωρος ἐλαία· ὅθεν καὶ ὀμφάκινον ἔλαιον, τὸ ἐξ ἀώρων ἐλαιῶν γενόμενον, ὃ δὴ πινόμενον τοὺς ἐν τῇ κοιλίᾳ πλατέας ἕλμινθας ἀναιρεῖ. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΟΣΧΩ ΓΑΥΡΟΤΕΡΑ. Ἤγουν σκιρτῶσα καὶ ἀγαλλομένη πλέον μόσχου. L. οἰστρικωτέρα, s. l. M. ΦΙΑΡΩΤΕΡΑ, φιαρὸν τὸ ἀσθενές, ἤγουν λαμπροτέρα ἢ στρυφνοτέρα. L. δριμυτέρα, s. l. M. ΟΜΦΑΚΟΣ, ἀωρίδος, s. l. L.

22. ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΤΩΣ, μάτην s. l. N. ΕΧΗι ΜΕ, κατέχῃ με. s. l. C.

---

(1) γαυριᾷ τὸ φρόνημα Kœhler.

Digitized by Google

Οἴχῃ δ' εὐθὺς ἰοῖσα, ὅκα γλυκὺς ὕπνος ἀνῇ με·
Φεύγεις δ', ὥςπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα·
Ἡράσθην μὲν ἔγωγα, τεοῦς, κόρα, ἀνίκα· πρᾶτον 25
Ἤνθες ἐμᾷ σὺν ματρί, θέλοισ' ὑακίνθινα φύλλα

V. 23. οἴχῃ om. B. C, et D, in quo additum est in marg. a man. 2ª. — ἰοῖσα om. p. — ὅκκα k, p, Vat. 3, *A*. F. L. Q. Y. ἰοῖσ' ὅκκα Gaisf. Kiessl. — ἀνῇ με om. B. C, et D, in quo additum est in marg. a man. 2ª.

V. 24. φεύγῃ Vat. 3. φεύγει Y. — ἀθροίσασα Y, Vat. ap. Warton. — Versum om. J.

V. 25. ἀράσθην p, Vat. 12, C. — ἔγωγα sic cum v, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἔγωγε quod k, Vat. 5, 6, F. J. L. N. O. Q. Y. Z, Reisk. Harles. ἔγωγ' p, s, Colb. Taur. D. ἐγὼν c. ἐγὼ *A*. G. K. M. — κόρα τεῦ F. N. O. Z, Reisk. Harles. nos vero τεοῦς κόρα cum k, Vat. 5, Valck. Gaisf. Kiessl. τεοῦ κόρα v. τεῦ κ. c, w, K. M. τεῦ ὦ κ. e, *A*. J. Y. Junt. ἐτερῶς κ. p, s, ἐτεῶς κ. Colb. Taur. τε σοῦ κ. Vat. 6. τεῶς κ. B. ἔτε (ῦ s. l.) ὦ κ. D. τεγέ τευ ὦ κ. G. κόρα κόρα L. — αὐτίκα et corr. ἀνίκα L. — πρῶτον p, Ott. *A*. Y. Z.

V. 26. ἦλθες *A*. — ἐμοὶ h, v, Scheller. F. ἁμᾶ Ott. — μητρὶ v, F. — ὑακίνθια Vat. 6. ὀνακίνθινα c.

---

23. ΣΧΟΛ. ΝΕΩΤ. ΟΙΧΗι, φεύγεις. s. l. M. πορεύη, s. l. P. ΙΟΙΣΑ, πορευομένη. s. l. M. ΑΝΗι ΜΕ, καταλείψει, s. l. M. ἀπολύσῃ, s. l. N.

24. ΣΧΟΛ. ΠΑΛ. ΠΟΛΙΟΝ. Ἀντὶ τοῦ λευκόν. οἱ γὰρ λύκοι αἰθαλώδεις τὴν χροιάν· ἐπεὶ οὖν ἐκ μέλανος καὶ λευκοῦ εἰσὶ τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς· ἢ [1] πολιούς, ἀντὶ τοῦ γεραιοὺς καὶ παλαιούς. — ΣΧΟΛ. ΝΕΩΤ. ΟΙΣ, φεύγει, s. l. M. ΠΟΛΙΟΝ, λευκόν, ἢ γηραιόν, s. l. M. ΑΘΡΗΣΑΣΑ, θεασαμένη, s. l. P. ἰδοῦσα, s. l. C.

---

(1) πολιὸν ἀ. τ. γεραιόν M.

Digitized by Google

Ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἀγεμόνευον.
Παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τί πω νῦν
Ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὔ, μὰ Δί', οὐδέν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις· 30

V. 27. ἐγὼν Brunck. — ὁδὴν G. — ἀγεμόνευον sic cum w, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἡγεμόνευον quod Y. Z. vett. edd. Reisk. Harles.

V. 28. ἐσσιδὼν, omisso δ', *A.* — οὐδ' ἔτι J. Q. οὐδέ τι et corr. οὐδ' ἔτι D. — τὰ νῦν p, w, Colb. Taur. τανῦν B. C. D. Q. τὸ νῦν J. πα νῦν c, K. M.

V. 29. τήνου οὐ δύν. K. — μὴν pro μέλει w. μέλλει p, F. J. μέλεις G. δ' οὐδὲν μέλει μὰ δί' οὐδέν Q.

V. 30. κόρη v, Y.

---

27. ΣΧΟΛ. ΠΑΛ. Τὸ ΔΡΕΨΑΣΘΑΙ, κυρίως ἐπὶ [1] βοτανῶν καὶ ἐπὶ φύλλων δένδρων· καὶ λέγεται ἀεὶ παθητικῶς. τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα. σημαίνει δὲ τὸ τέμνω. ἐκ δὲ τούτου τοῦ δρέπω ἀχρήστου, καὶ δρεπάνη, δι' ἧς τοὺς ἀσταχυας δρέπομεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΓΕΜΟΝΕΥΟΝ, ἡγεμόνευον, προωδοποίουν, ὡδήγουν ἡμᾶς, s. l. M. ἐγὼ γὰρ κατὰ τὴν ὁδὸν ἡγεμὼν ὑπῆρχον, s. l. C.

28. ΣΧΟΛ. ΠΑΛ. Οὐ δύναμαι παύσασθαι ἐξ ἐκείνου τοῦ καιροῦ, καθ' ὃν εἶδόν σε, οὔτε μετὰ τοῦτο, οὔτε μέχρι τοῦ νῦν. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Ἐξ ὅτου περ, φησίν, εἶδόν σε, ἐξ ἐκείνου τοῦ καιροῦ τῷ ἔρωτί σου τρωθείς, οὐ δύναμαι μέχρι τοῦ νῦν τοῦ ἔρωτος παύσασθαι. M. Q. ΠΑΥΣΑΣΘΑΙ, τοῦ ἔρωτος, s. l. M. τοῦ ἐρωτικοῦ, s. l. P. τοῦ ἐρωτιᾶν, s. l. L. ΟΥΔΕ ΤΙ ΠΩ ΝΥΝ, ἀκμήν, s. l. M. δύναμαι, s. l. L. P.

29. ΣΧΟΛ. ΝΕΩΤ. ΤΙΝ, σοί, s. l. M. N. ΜΕΛΕΙ, διὰ φροντίδος ἐστί, s. l. M.

30. ΣΧΟΛ. ΝΕΩΤ. ΧΑΡΙΕΣΣΑ, χαριεστάτη, s. l. M.

---

(1) ἀνθέων N.

Digitized by Google

Οὔνεκά μοι λασία μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ
Ἐξ ὠτὸς τέταται ποτὶ θάτερον ὥς μία μακρά·
Εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' ωὐτός, τοιοῦτος ἐών, βοτὰ χίλια βόσκω,

V. 31. οὔνεκ' ἐμὶν Brunck. — λασεῖα c. — μὲν om. k. — ὀφρὺς p, Gaisf. Kiessl. Valck.

V. 32. τέτακται e. — θῶτερον vulgo Reisk. Valck. Harles. θ' ὥτερον Ott. θάτερον c, h, p, s, v, w, Colb. Taur. Scheller. Vat. 8, Q. Y. Brunck. Gaisf. Kiessl. θ' ἄτερον F. G. J. K. M. — ὡς v, w, G. M. Y.

V. 33. ἧς pro εἷς a, s, v, w, Vat. 5, 9, 10, Brunck. ἧς L. P. Y. ἧς, ν sup. σ, *A*. — ἔπεστιν L. P. — ῥὶν e, G. — χεῖλη c, e, l, Call. Steph.

V. 34. οὔτος Colb. Vat. 3, D. J. K. M. οὔτως c, v, C. Q. οὕτως ὁ *A*. ὠὔτὸς et in marg. οὔτως N. ὠὐτὸς Brunck. Valck. Kiessl. — τοιούτως l.

---

31. ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΣΙΑ, δασεῖα, s. l. *A*. M. N. ΟΦΡΥΣ. Ὁπαρίς τις οὖσα, ἡ τοὺς ὄπας ῥυομένη καὶ φυλάσσουσα. L. Q.

32. ΣΧΟΛ. ΝΕΩΤ. ΕΞ ΩΤΟΣ, ἀπὸ τοῦ ἑνὸς ὠτίου μέχρι τοῦ ἑτέρου ὠτός, s. l. M. ΤΕΤΑΤΑΙ, τανύεται, s. l. N. ΠΟΤΙ ΘΑΤΕΡΟΝ, πρὸς τὸ ἕτερον οὖς, s. l. L.

33. ΣΧΟΛ. ΠΑΛ. Τουτέστιν εἰμὶ σιμός. σιμὸς δέ ἐστιν ὁ συγκαθημένην ἔχων τὴν ῥῖνα, καὶ ἀνεστηκότας τοὺς ῥώθωνας. γρυπὸς δὲ ὁ ἐπικαμπῆ ταύτην ἔχων, δίκην ἱέρακος. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣ Δ' ΟΦΘΑΛΜΟΣ. Γράφε ΗΙΣ διὰ τοῦ η̄ τριπῆ καὶ προσγραφομένου τοῦ ῑ. N. ΕΠΕΣΤΙ, ἔπεστιν ἐμοί, s. l. C.

34. ΣΧΟΛ. ΠΑΛ. Ἀλλ' ἐγὼ αὐτὸς τοιοῦτος ὤν, ἀσχήμων δηλονότι καὶ δυςειδής, ποιμὴν εἰμι προβάτων χιλίων, καὶ βόσκω αὐτά· καὶ τὸ γάλα τούτων τὸ κάλλιστον πίνω ἀμελγόμενος. ἰστέον, ὅτι τὸ ἀμέλγω κοινόν, ὃ καὶ βδέλλω, τὸ ἐκπιέζω. ἐκ τούτου καὶ βδέλλα, ἡ ἐκμυζῶσα καὶ πίνουσα τὸ αἷμα.

Digitized by Google

Κὴκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω· 35
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρᾳ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.

V. 35. κὲκ τούτων w, *A*. καὶ τούτων B. — τὸ κράτ. om. Q. — ἀμελγόμενος c, d, h, k, p, s, x, Colb. Vat. 3, 5, 6, 9, D. Q. Y. Ald. Junt. Reisk. Brunck. Valck. Harles. ἀμελγόμενον Call. Med. — πίνε Y.

V. 36. πείτει sic pro λείπει c. — ὀπώρᾳ h, k, p, v, w, Scheller. F. J. Brunck. Gaisf. Kiessl.

V. 37. αἴκρῳ Vat. ap. Warton. ἄκρω et in marg. γρ. ἀκμῃ D.

Ἀττικῶς δὲ βδάλλω τὸ αὐτό. — ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΤΑ, βοσκήματα, s. l. N. πρόβατα, s. l. *A*.

35. ΣΧΟΛ. ΝΕΩΤ. ΚΡΑΤΙΣΤΟΝ, ἄριστον, s. l. N. καλλιον, s. l. M.

36. ΣΧΟΛ. ΠΑΛ. [ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Ὀπώρα ἐστὶ κυρίως τὸ θέρος, ἐν τούτῳ γὰρ αἱ ὀπῶραι τῇ τοῦ ἡλίου σφοδρᾷ ἀκτῖνι πεπαίνονται. ἐνταῦθα οὖν οὐ τὸ θέρος φησίν, οὐ γὰρ ἐν θέρει ἐπιλείπει τυρός, ἀλλὰ τὸ μετόπωρον καταχρηστικῶς· ἐν μετοπώρῳ γὰρ καὶ χειμῶνι σπάνις τοῦ γάλακτος. M. Q.]

37. ΣΧΟΛ. ΠΑΛ. ΤΑΡΣΟΙ τὰ κοινῶς λεγόμενα τυροβόλια, καὶ γίνεται ἀπὸ τοῦ τείρω, τερῶ, καὶ πλεονασμῷ τοῦ σ, καὶ ἀναδόσει τοῦ τόνου, τέρσω. ἀφ' οὗ ταρσός· ἐν ᾧ τινι δηλονότι ὁ τυρὸς ξηραίνεται. [ΑΚΡ. Ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ χειμῶνος, ὥςτε ἄκρον ἐνταῦθα, ἡ ἀκμὴ τοῦ χειμῶνος. ἢ ἄκρον λέγει τὸ τέλος φθινοπώρου, ἀρχὴν δὲ τοῦ χειμῶνος.] — ΣΧΟΛ. ΝΕΩΤ. ΑΚΡΩ, τῇ ἀκμῇ ἤγουν τῷ τέλει, s. l. M. τῷ μέσῳ τοῦ χειμῶνος, s. l. L. ἐπὶ τῆς ἀκμῆς, s. l. N. ΤΑΡΣΟΙ, τάλαροι, s. l. N. τυροψύκται, s. l. M. ἀπὸ τοῦ τείρω, τέρσω τὸ ξηραίνω, s. l. L. ΥΠΕΡΑΧΘΕΕΣ, βεβαρυμένοι τοῖς τυροῖς, s. l. M. P. βρίθουσι, s. l. C.

Digitized by Google

Τυρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
Τίν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κήμαυτὸν ἀείδων
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρώς, 40

V. 38. τυρίσδεν e, s, Vat. 8, 9, *A*. G. Y, Kiessl. — ἐπίςα w. ἐπίσταται Q.

V. 39. φύλον *A*. — μοι μᾶλον p. μοι μᾶλλον C. γλυκὺ μᾶλον *A*. — ἁμᾶ sic cum B. C. D. J. Q. ἅμα p, w, Valck. ἁμῶ h, v, F. N. Z. — κήμαυτὸν ἅμ' c, d, g, l, x, Ott. Stop. O. Z. Med. Ald. κήμαυτὸν ἀείδων ἁμᾶ a. ἡμαυτὸν ἀείδων ἁμου et glossatoris man. ἅμα κ'ημαυτὸν ἀείδων Vat. ἡμαυτὸν Vat. 5, 10. ὡμαυτὸν ἀείδων ἁμᾶ et corr. κήμαυτὸν L. κήμαυτὸν ἀ. et corr. κήμαυτὸν ἅμ' ἀ. F et N. κήμαυτὸν edd. vett. Reisk. Harles.

V. 40. τράφω *A*. — τρέφων Vat. G. — τεν pro τοι Brunck. — ιά numerale pro ἕνδεκα a. — νεβρούς *A*.

---

38. Σχολ. παλ. Γινώσκω δὲ διὰ σύριγγος μελουργεῖν, ὡς οὐδεὶς τῶν ἐνταῦθα ὄντων Κυκλώπων.

39. Σχολ. παλ. Γλυκυμαλον, τοῦτο πρόςφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν, γλυκύ μου μῆλον. ἐμαυτὸν καὶ σὲ παρὰ καιρὸν τῆς νυκτὸς ᾄδω, τουτέστι διὰ μελουργημάτων ἐγκωμιάζω. Ἄλλως. ναί, φησίν, οὕτω τὸ συρίζειν ἐπίσταμαι, ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν τὸ προςφιλέστατόν μοι γλυκύμηλον, ἤγουν τὸ γλυκὺ μῆλον. [1] μῆλον δέ ἐστιν ὡς μελίλωτον. ἔστι [2] καὶ μήλου γένος. [3] Σαπφώ· Γλυκύμαλον ἐρεύγεται, ὡς ἄκρῳ ἐπ' οὐδῷ. — Σχολ. νεωτ. Γλυκυμ. γλυκύμηλον, ἤγουν σὲ τὴν γλυκεῖαν ἐμοί, φίλην, s. l. M. Ἀειδων, παραμυθούμενος, s. l. L. P.

40. Σχολ. παλ. Τοῦτο ἐρεθιστικόν, ἤγουν παρακινη-

---

(1) γλυκύμηλον Salv. γλυκύμηλον δέ ἐστι μήλου τι γένος ὡς μ. καὶ Σαπφώ. M. — (2) γάρ τοι καὶ Salv. — (3) Sapphus versiculus Toupio ita scribendus videtur: — Ὡς γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὄσδῳ. Adde Casaubon. Lectt. Theocr. p. 264 (p. 102, Reisk.) Spanhem. Callim. II, p. 684. Wolfii Sapphon. p. 76.

Digitized by Google

Πάσας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἐξεῖς οὐδὲν ἔλασσον·

V. 41. ἀμνοφόρως sic cum n, p, r, w, Scheller. *A*, Ald. Steph. Warton. Valck. Gaisf. et edd. vett. nonnullis, pro vulgat. μαννοφόρως quod Vat. 3 ap. Sanct. sed recenti manu suprascr. item Call. Reisk. Br. Harles. Kiessl. ἀμνοφόρους v. ἀμνοφόρως et corr. in marg. γρ. μαμνοφόρως D. quod recepit Junt. ἀμνοφόρως et in marg. ἢ μανοφόρως O. — σκύμνους Y. — τέττορας s, Y. τέτταρας v, G. τέτταρος Vat. 8. — ἄρκτω Kiessl.

V. 42. ποτ' ἄμμε sic vulgo cum Commelin. Reisk. Harles. Valck. ποθ' ἀμέ p, Vat. Colb. Taur. Brunck. Kiessl. ποτ' ἀμὲ Q. Call. Steph. συ ποτα' μὲ Junt. ποτί με d, g, l, x, N. O. Z, Med. Ald. vett. edd. ποτ' ἐμέ h, v. ποτὶ μὲ Ott. ποθ' ἄμα s, Y. ποθ' ἀμὰ *A*. ἀμὰ e, Vat. 8. ποτὶ τὰμὰ G. ποθάμες w. — ἐξῆς Vat. 5, 6, 10, K. L. P. Q. ἔξης M.

τικὸν πρὸς ἔρωτα, ὅτι ἐκ περιουσίας ἔχω καὶ ἐλάφους μετὰ τῶν γεννημάτων αὐτῶν. ΑΜΝΟΦΟΡΩΣ γὰρ ἀμνίδας καὶ βρέφη φερούσας. ἢ ΜΑΝΝΟΦΟΡΩΣ· γράφεται γὰρ ἔν τισι καὶ οὕτω. ΜΑΝΝΟΣ δέ ἐστιν ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον [1] μαννάκιον. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΩΡΙ, ἤγουν ἐν μεσονυκτίῳ, s. l. M. ΝΕΒΡΩΣ, νεβρούς, ἐλάφους καταχρηστικῶς, s. l. M.

41. ΣΧΟΛ. ΠΑΛ. Καὶ σκύμνους ἄρκτων τέσσαρας. [Τέσσαρας σκύμνως τῇ τάσει ὡς μωροὺς ὅταν ἐπὶ ἀρκτῶν ὡς νῦν· ἐπὶ δὲ τῶν λέοντων σκύμνοι κυρίως λέγονται. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΝΟΦΟΡΩΣ, ἐχούσας νεβρούς, s. l. M. φερούσας νεογνὰ γεννήματα, s. l. L. P. ΣΚΥΜΝΩΣ, σκυλάκια, s. l. M.

42. ΣΧΟΛ. ΠΑΛ. Ἀλλ' ἐλθὲ πρὸς ἐμέ· καὶ οὐχ ἧττον ἐμοῦ

Kiessl. σαμφὼ M, Can. γλυκύ, τι μᾶλον ἐ. ὡς ἄ. ἐπόσδων M. ὄσδω Salv. Can. ὄσδῳ Gaisf.

(1) Warton. scribit μανιάκιον. Recte. Conf. Hesych. V. ΜΗΝΙΣΚΟΙ. *Kiessl.* μαννίακιον Vat. 3. μανιάκιον Vulc.

Digitized by Google

Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
Ἄδιον ἐν τῶντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.
Ἐντὶ δάφναι τηνεί, ἐντὶ ῥαδιναὶ κυπάρισσοι, 45
Ἐντὶ μέλας κισσός, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·

V. 43. ὀρεχθεῖν sic cum Call. Steph. vett. edd. Reisk. Harles. ὀρεχθῆν Ott. L. Brunck. Valck. Kiessl. ἐρεχθεῖν c, e, h, p, w, x, Colb. Taur. *A*. B. C. F. J. K. L. M. Z. Med. Ald. Junt. sic D, in quo suprascr. ὀρεχθεῖν. ἐρεχθῆν g, Vat. 5, 6. ἐρεχθῆν Stop. N. O. P. ὀρήχθειν Vat. 8. ἐριχθῆν l. ὀροχθεῖν Y. ορεχθεῖν et corr. ἐρεχθεῖν v.

V. 44. τῶντρων J. — ἁμῖν p, w, Colb. B. C. D. J. Q. ἐμοί e, s, Y. — τὴν v, Junt. — διαξῆς Vat. 5, 10, J. P. Q, pro var. l.

V. 45. ἐντὶ δὲ ῥαδ. h, v, F. — κυπάρισσαι a. — Versum om. g, Med.

V. 46. ἐστὶ p, v, Y. et ter Call. Junt. — κισσός γ', ἔντ' K.

ἕξεις· δηλονότι, ὁμοίως ἐμοὶ ἀπολαύσεις τῶν ἐμῶν. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΞΕΙΣ. Καὶ ἑξεῖς οὐδὲν ἔλασσον· ἤγουν εἰς τὸ μέλλον οὐδὲν χεῖρον ἡμῖν γενήσεται. L. P. λάβοις, s. l. L. M. ΟΥΔΕΝ ΕΛΑΣΣΟΝ, ὧν ἔχεις· ἀλλὰ πάντα καλά, s. l. M.

43. ΣΧΟΛ. ΝΕΩΤ. ΟΡΕΧΘΕΙΝ, πλήττειν, s. l. M.

45. ΣΧΟΛ. ΠΑΛ. ΡΑΔΙΝΟΝ τὸ ἐπίμηκες καὶ λεπτόν. τὸ ῥεῖα, ἤγουν εὐκόλως [1] δονούμενοι. — ΣΧΟΛ. ΝΕΩΤ. ΡΑΔΙΝΑΙ, πυκναί, ἢ λεπταί, s. l. L. M. P.

46. ΣΧΟΛ. ΠΑΛ. ΜΕΛΑΣ ΚΙΣΣΟΣ. Οὐκ ἀσκόπως τοῦτό φησι. παραδίδωσι [2] δὲ ὁ [3] Κρατῖνος καὶ ἄλλον λευκὸν κισσόν, οὗ τὸν καρπὸν μετὰ τὸ τριβῆναι πινόμενον πρὸς [4] παιδοποιΐαν

---

(1) δονούμενον correxerunt Jacobs. et Kœhler. — (2) γάρ M. — (3) Quum Cratini nullus hic locus sit, Toupius, ut jam antea Reinesius, legit Κρατεύας.... φησι συντελεῖν. Fuit *Crateuas* medicus et herbarius antiquissimus, de quo confer *Sprengelii* Historiam rei herbariæ, Tom. I, p. 126, sq. *Kiessl.* Κρατεύας legit Hemsterh. — (4) πρὸς τὸ παιδοποιεῖν φησί M.

Digitized by Google

Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι·
(Τίς κἀν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;)

V. 47. ἐστὶ p, v, *A*. Y. — τύ μοι *A*. — πολυδένδρυος c. πολυδενδρέα B, et D, in quo corr. πολυδένδρεος. πολύδενδρος Q. πολύενδρος *A*.

V. 48. ἀμβρασίαν c. — προΐησι. k, v et w, in quo τ sup. σ. προΐειτι B, et D, in quo corr. προΐητι.

V. 49. κἀν a, c, d, e, g, h, k, l, w, x, Ott. Vat. 3, 8, 9, 12, *A*. L. O. P. Med. Ald. Junt. Call. Kiessl. ἀν p, v, Colb. Taur. B. D. Q. κ' ἀν F. G. J. K. M. N. Z. κα v; in quo intrusum videtur ν post κα. κα Brunck. κἀντὶ s, Y. — τῶδε w. τῶν δ' L. O. P. — ἔχειν θάλασσαν a, L. O. P. — καὶ pro ἢ F. — κῦμεθ' ἕλοιτο Vat. 5 ap. Sanctam. forte pro κῦμ' ἔθελοιτο.

φασὶ συντελεῖν. — ΣΧΟΛ. ΝΕΩΤ. ΓΑΥΚΥΚΑΡΠΟΣ, ἡ καρπὸν διδοῦσα γλυκύν, s. l. M.

47. ΣΧΟΛ. ΠΑΛ. Ἰστέον, ὅτι ἡ Αἴτνη τὸ ὄρος τῆς Σικελίας ἐξ ἑνὸς μέρους πῦρ ἀνάπεμπεί, ὃ καὶ Αἰτναῖον λέγεται· ἐκ δὲ τοῦ ἑτέρου μέρους ἐστὶ δενδροφόρον, ἐν ᾧ καὶ χιὼν δι' ἔτους τηρεῖται, ἐξ οὗ φησὶν ὁ Θεόκριτος, τῆς χιόνος τηκομένης, ῥεῖν τὸ ὕδωρ καὶ μαλα ψυχρόν. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟ ΜΟΙ, ὅπερ, s. l. L. P. ΠΟΛΥΔΕΝΔΡ. τοιαῦτα γὰρ τὰ ὄρη, s. l. M.

48. ΣΧΟΛ. ΠΑΛ. ΠΟΤΟΝ ΑΜΒΡΟΣΙΟΝ. Νέκταρ, θεῶν πόμα· ἀμβροσία, τροφὴ θεῶν, ὥς φασιν Ἕλληνες· ἐκ δὲ τῆς ἀμβρασίας καὶ ἀμβρόσιον πόμα, τὸ θεῖον, τουτέστι τὸ γλυκύτατον. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΒΡΟΣΙΟΝ, ἡδύ, θεῖον, s. l. M. ἀθάνατον, s. l. L. P. ΠΡΟΙΗΤΙ, προΐησι, πέμπει, s. l. C. M.

49. ΣΧΟΛ. ΠΑΛ. Ἤγουν, τίς τοσαῦτα ἔχων, ὅσα ἐγὼ ἔχω δηλονότι, ἀφεὶς ταῦτα, προέλοιτο, ἤγουν προκρίνοι, οἰκεῖν θάλασσαν καὶ κύματα; — ΣΧΟΛ. ΝΕΩΤ. ΤΙΣ ΚΕΝ ΤΩΝΔΕ,

Digitized by Google

Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν, 50
Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
Καιόμενος δ' ὑπὸ τεῦ καὶ τὰν ψυχὰν ἀνεχοίμαν,

V. 50. ἂν δέ τοι Q, et D, in quo corr. αἰ δέ τοι. δέ τι p, C. δὲ οἱ M. εἰ δέ τοι Ald. Junt. δε τὶν Brunck. — ἐγὼν αὐτὸς v. ἐγὼ Α. Y. — ἦμεν sic cum v, w, Α. Valck. Gaisf. Kiessl. pro vulgat. ἦμες quod N. O. Z, Brunck. Harles. εἶναι p.

V. 51. ἀπὸ σπόδῷ, ν sup. ῶ alia manu et τῷ ῶ subscriptum ι eadem manu, v. ἀπὸ σποδῶν w. σποδῷ Call.

V. 52. δ' om. K. M. O. — τεῦ sic vulgo cum J. K. M. N. O. P. Q. Y, Reisk. Harles. ὑπό τευ B. C. D. F. G. L. Z. τεῦς k, Junt. Valck. Gaisf. Kiessl. — ψυχρὰν Vat.

ἀντὶ τούτων ὧν εἶπον, s. l. M. ἕνεκα τοσούτων, s. l. L. Ἑλοιτο, προκρίνοιτο, s. l. L. M. P.

50. Σχολ. παλ. Εἰ δὲ ἐγὼ παρὰ σοὶ νομίζομαι λάσιος εἶναι, δηλονότι σύνοφρυς, καὶ διὰ τοῦτο μεμίσημαι, ἔστι μοι ξύλα δρύϊνα· καὶ καιόμενος καὶ τὴν ψυχὴν καὶ τὸν ἕνα ὀφθαλμόν, οὗ γλυκερώτερον οὐδὲν ἐμοί, ὑπὸ σοῦ ὑπομείναιμι ἂν ἡδέως. τοῦτό φησιν, ὅτι οἱ ἐρῶντες πάσχοντες ὑπὸ τῶν ἐρωμένων τὰ ἔσχατα τῶν δεινῶν, ἡδέως φέρουσιν. — Σχολ. νεωτ. Δοκεῶ, δοκῶ, φαίνομαι, s. l. L. P. Τοῦ Τρικαϊνίου. Λασιωτερος. Εἴ περ, φησί, δασύς τις εἶναί σοι δοκῶ, ὡς ἐν ὅλῳ τρίχας φέρων τῷ σώματι, ἀλλ' ἔστι μοι ξύλα καὶ πῦρ, εἰ θελήσεις καῦσαι τὰς τρίχας καὶ ψιλῶσαι τὸ σῶμα. εἰ δὲ καὶ τὴν ψυχὴν καὶ τὸν ὀφθαλμόν, οὗ μοι γλυκύτερόν οὐδέν, καύσεις, ἀνέξομαι. M. Q. Λασιωτερ. δασύτερος, s. l. M.

51. Σχολ. νεωτ. Σποδῷ, τῇ αἰθάλῃ, s. l. M. τέφρᾳ, s. l. L. P. Ακαματον, ἄσβεστον, s. l. Α.

52. Σχολ. νεωτ. Καιόμενος, ὥςτε ψιλωθῆναι τῶν τριχῶν, s. l. M. Καί ταν ψυκαν, σύναπτε ἐνταῦθα τὸ ἕνα ὀφθαλμόν, s. l. M. τὴν ψυχὴν αὐτὴν καρτερσίμην, s. l. L. P. Ανεχοιμαν, ὑπομένοιμι ἂν εἰ καὶ τὴν ψυχὴν

Digitized by Google

Καὶ τὸν ἔν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
Ὡς κατέδυν ἐπὶ τίν, καὶ τὰν χέρα τεῦ ἐφίλασα, 55
Αἰ μὴ τὸ στόμα λῆς· ἔφερον δέ τοι ἢ κρίνα λευκά,

V. 53. ναὶ pro καὶ Valck. in priore edit. — ὦ μοι F. οὔ μοι v. — γλυκύτερον a, h, v, Vat. 5, 6, 9, 10, F. L. γλύκιον πέλει d, x, Stop. γλυκυρώτερον w.

V. 54. ὤμοι Valck. Gaisf. Kiessl. ὦ μοι Br. — ἔτεκέ με a, p, Vat. 6, C. L. — βραχι', γ recenti man. superaddito, Vat. ap. Sanctam. — ἐόντα v.

V. 55. ἐπὶ τὶν sic cum d, g, l, x, Ott. Vat. 5, 6, 10, L. N. O. P. Z, et Q pro var. l. Med. Ald. Junt. Reisk. Harles. ποτὶ τιν v, Λ, Scheller. Call. Steph. qui in marg. ἐπὶ τὶν, Brunck. Valck. Gaisf. Kiessl. — χεῖρα v. — τεῦ sic cum B. C. F. G. J. K. L. M. N. O. P. Q. Y. Z, vett. edd. Reisk. Valck. Harles. τεῦς Gaisf. Kiessl. — ἐφίλησα p, Ott. Λ. B. C. L. O. P. Y. Z.

V. 56. εἰ μὴ Λ. αἴκα μὴ Tolet. ἂν μὴ B. — τὸ om. v, Tolet. — ἔφορον v. — τὶν pro τοι Brunck.

αὐτὴν καὶ τὸν ὀφθαλμὸν καύσεις καὶ οὐ μόνας τὰς τρίχας, s. l. M.

53. Σχολ. νεωτ. Καὶ τὸν ἐν' ὀφθαλμὸν, ἀνεχοίμην δηλονότι, s. l. L. P.

54. Σχολ. παλ. Ἀπορῶν ὁ Κύκλωψ, καὶ ἀποτυγχάνων ὡς ἐρῶν Νηρηΐδος τῆς Γαλατείας, φησὶ δεινοπαθῶν· φεῦ μοι, ὅτι οὐκ ἐγέννησέ με ἡ μήτηρ μου ἰχθύν. οὕτω γὰρ ἂν κατεφίλησα τὴν χεῖρά σου, ἐὰν μὴ τὸ στόμα ἤθελες. — Σχολ. νεωτ. Βραγχι', ἰχθύος πτερά, ἃ περὶ τὴν κεφαλὴν ἔχει καὶ δι' ὧν πλέει, s. l. M.

55. Σχολ. νεωτ. Ὡς κατέδυν, ἵνα κατῆλθον ἐν τῷ βυθῷ, s. l. M. Επι τιν, ἐν σοί, s. l. M.

56. Σχολ. παλ. Ἔφερον δέ σοι καὶ ἐρωτικὰ σύμβολα, κρίνα δηλονότι λευκὰ καὶ μήκωνος φύλλα. ἀλλ' οὐκ ἂν δυνη-

Digitized by Google

Ἢ μάκων' ἁπαλάν, ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὥςτ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάσθην.

V. 57. ἁπαλαν Ott. — ἐρυθράν l, w, Taur. — πλαταγώνι' ἔχοισαν ἐρυθρά Vat. 9, Brunck.

V. 58. γίγνεται p, w.

V. 59. οὐκ om. w. — τὶν pro τοὶ Brunck. — φέρειν ταῦτα w. φέρθειν ταῦτα h. φέρειν σ' ἅμα Vat. 3. — πάντα ἄ. ταῦτ' c. — ἐδυνάσθην sic cum Brunck. Harles. pro vulgat. ἐδυνάθην quod Steph. Reisk. Valck. Gaisf. Kiessl. ἐδυνήθην Ott. *A*. Y. Z. Ald. Call. edd. vett.

θείην φέρειν σοι ἀμφότερα ἐν αὐτῷ τῷ καιρῷ· τὰ γὰρ κρίνα τοῦ θέρους εἰσί, τὰ δὲ τῆς μήκωνος φύλλα τοῦ χειμῶνος. ΜΗΚΩΝ δὲ λέγεται ἡ κεφαλὴ καὶ ἀνθηφόρος βοτάνη, ἡ κοινῶς λεγομένη κούδεα. — ΣΧΟΛ. ΝΕΩΤ. ΛΗΙΣ, φιλήσαιμι, s. l. L. P.

57. ΣΧΟΛ. ΠΑΛ. ΠΛΑΤΑΓΩΝΙΑ. Τὰ τῆς μήκωνος φύλλα φησὶ καὶ τὰ τῆς ἀνεμώνης, ἀπὸ τοῦ [1] πλατάσσειν, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ [2] χειρί, καὶ οὕτω σημειοῦνται, εἰ [3] ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων· ὥςπερ καὶ ἀπὸ τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ ἀψόφως ἐπικρουσθείη. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΡΥΘΡΑ, κόκκινα, s. l. M.

58. ΣΧΟΛ. ΝΕΩΤ. ΤΑ ΜΕΝ, τὰ κρίνα, s. l. M. ΘΕΡΕΟΣ, ἐπὶ θέρους, s. l. M. ΤΑ ΔΕ, ἤγουν τὰ τῆς μήκωνος φύλλα, s. l. M

---

(1) Sic emendamus cum Wartono e Stephani Thes. Gr. L. III, col. 356, a. Adde Suidam V. ΠΛΑΤΑΓΩΝΙΟΝ. Vulgo πλάσσειν, quod tuetur Riemer. in Lex. Gr. s. v. *Kiessl.* — (2) ὥςτε ψόφον ἀποτελέσαι addunt M. Q. ὥςτε ψοφεῖν Salv. — (3) φιλοῖντο M. Q.

Digitized by Google

Νῦν μάν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι, 60
Αἴκά τις σὺν ναῖ πλέων ξένος ὧδ' ἀφίκηται,
Ὡς εἰδῶ, τί ποχ' ἁδὺ κατοικῆν τὸν βυθὸν ὔμμιν.

V. 60. νῦν μέν p, Y. νῦν γάρ v. νῦν δὴ Colb. Taur. B. D. — ὦ κόρα a, Vat. 5, 10. ὦ Κόρινα Z, Ald. vett. nonnullæ edd. γαλάτεια d, e, g, h, l, x, Ott. Stop. F. N. O. Med. Junt. Call. Brunck. — νῦν αὐτότι Z, Ald. vett. edd. et Steph. in marg. αὐτότε Colb. αὐτόθι man. 1ª, et corr. αὐτόγε Q. αὐτόγε s, v, Vat. 6, Taur. A. B. C. D. G. K. αὖ τόγε Y, Vat. αὐτόγα c, k, p, w, Vat. 3, Scheller. I. M. Junt. Call. Brunck. αὐτέ γε Vat. 8. νῦν τό γε a, d, e, g, h, l, x, F. N. O. P. Med. sic Ott. in quo deest νῦν. — νεῖν et s. l. πλεῖν s. νεῖν τό γε Stop. — γε post νεῖν om. C. F. G. P. Y. — μεθεσεῦμαι w. μεμαθεῦμαι F. P. sic v sed ab alia man. deleto με.

V. 61. εἰ τε καί v. εἴ τε κα k. — τι pro τις Ott. — συννοεῖ p. — ξένως Ott.

V. 62. ὡς κεν ἰδῶ v. εἰδῶ w. ὡς μεν ἴδω A. ὡς εἴδω k, p. ὡς εἰδῶ C, Q, et J, in quo suprascr. ὡς κεν sic Call. Steph. in marg. Brunck. Kiessl. ἰδῶ Scheller. B et D, in quo suprascr. εἰδῶ. — τί ποχ' Vat. 9, Y, Kiessl. — κατοικῆν sic cum Junt. Steph. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. κᾰτοικεῖν quod B. C. Y. Z, Reisk. Harles. κατογκεῖν c. — ἄμμιν p, w, Vat. J. Q, cum ὑμῖν pro var. l. ἁμῖν Vat. 12. ἄμιν C.

---

60. ΣΧΟΛ. ΠΑΛ. Λείπεται τοίνυν, ὦ κόρη, ἐπεὶ οὐ βράγχια ἔχω, τουτέστιν οὐκ ἰχθὺς ἐγενόμην, μαθεῖν ἐμὲ τὸ νεῖν, τουτέστι τὸ πλέειν καὶ κολυμβᾶν, ἐάνπερ ἀφίκηταί τις ξένος ἐντεῦθα μετὰ νηός· οὗτος γὰρ ἐμὲ διδάξεται δηλονότι πλέειν, ἵνα μάθω, τί γλυκύ ἐστιν ὑμῖν, ταῖς Νηρηΐσι δηλονότι, τὸ κατοικεῖν τὸν βυθόν. — ΣΧΟΛ. ΝΕΩΤ. ΝΥΝ ΜΑΝ. Γράφεται καὶ οὕτω· Νῦν μέν, ὦ κόρα, νῦν τό γε νεῖν γε μάθεῦμαι. J. ΜΑΘΕΥΜΑΙ, μαθοῦμαι, μαθήσομαι, s. l. M.

62. ΣΧΟΛ. ΝΕΩΤ. Ὡς ΚΕΝ, ὡς ἄν, s. l. M. Τι ποε', εἴ που, s. l. P. ἄρα, s. l. M. ΥΜΜΙΝ, ταῖς Νηρηΐσι, s. l. C.

Digitized by Google

Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
Ὥςπερ ἐγὼν νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθῆν·
Ποιμαίνεν δ' ἐθέλοις σὺν ἐμίν, ἅμα καὶ γάλ' ἀμέλγεν, 65
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·

V. 63. ἐξέλθοις v.

V. 64. Parenthesin om. p. — ἐγώ Y, Commelin. — ὅδε k. ἔνθαδε p. ἐνθάδε C, pro ὧδε. — ἀπενθῆν Brunck. Valck. Kiessl. ἀπενθεῖν Reisk. Harles. Gaisf.

V. 65. ποιμαῖνην Vat. 5, L. P. ποιμένην Vat. 10. ποιμαίνεν Brunck. Kiessl. — ἐθέλεις p, w. δὲ θέλεις K. — ἐμοὶ p. — ἁμᾶ Colb. Taur. B. J. ἅμᾶ Call. — ἀμέλγην Vat. 5, L. P. ἀμέλγεν Brunck. Kiessl.

V. 66. τάμϋσον Vat. ap. Sanctam. τάμισσον B. ταμισιδρυμεῖαν una voce K. — ἐνιεῖσα Vat 8, G. Q. ἐνιεῖσαν Taur. Colb. B, et D, in quo corr. ἀνιεῖσα.

V. 67. μάταρ *A*. — αὐτῇ *A*.

---

63. Σχολ. παλ. Τὸ πᾶν· εἴθε ἐξέλθοις, ὦ Γαλάτεια, καὶ ἐξελθοῦσα εἴθε λήθην λάβοις, ὥςπερ ἐγὼ νῦν ἐνταῦθα καθήμενος, εἰς τὸν οἶκον ἀπελθεῖν· καὶ εἴθε βουληθείης σὺν ἐμοὶ ποιμαίνειν καὶ ὁμοῦ γάλα ἀμέλγειν· καὶ εἴθε βουληθείης, ἀπὸ κοινοῦ τὸ σχῆμα, τυρὸν πῆξαι, πυετίαν δραστικωτάτην ἐμβαλοῦσα. — Σχολ. νεωτ. Ξενθοις, εἴθε ἐξέλθοις τῆς θαλάσσης, s. l. M. Λαθοιο, σύναπτε πρὸς τὸ οἴκαδε ἀπελθεῖν, s. l. M. ἐπιλάθεις εἰςελθεῖν εἰς τὴν θαλασσαν, s. l. L.

64. Σχολ. νεωτ. Εγων νυν, ἀπελαθόμην οἴκαδε ἀπελθεῖν, s. l. M.

66. Σχολ. νεωτ. Ταμισον, πιτύαν, s. l. M.

67. Σχολ. παλ. Ἁ μαθηρ αδικει με, ὅτι οὐ μα-

---

(1) Dicitur πιτύα, πυτία et πυετία. Conf. Toup. ad h. l. In nostro loco antea legebatur πιτείαν, quod in πιτύαν mutat Lamb. Bos. Animad. p. 133. *Kiessl.*

Digitized by Google

Οὐδὲν πά ποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ', ἄμαρ ἐπ' ἄμαρ ὁρεῦσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ 70

V. 68. πὴ p, Ottf Scheller. Ald. πῆ Α. F. K. L. P. Y. Z. Junt. πά Call. Brunck. Kiessl. — ποτὶ τον v.

V. 69. ἐπ' ἄρμα p. — ὁρεῦσα c, k, v, w, Colb. Taur. Vat. 3, 12, D. J. Q. Call. Reisk. Brunck. Valck. Gaisf. Kiessl. quod recepimus pro vulgat. ὁρῶσα quod Y. Z, Ald. Steph. vett. edd. ποτορεῦσα a, Vat. 5, 6, 10, L. P.

V. 70. φλάσω k, Colb. Vat. 5. φλασῶ pro var. l. Q. φλασῶ et in marg. γρ. φάσω D. φασῶ et corr. φλασῶ B. — τοὺς πόδας v. — ἀμφοτέρους w.

στρωπεύει μοι. αὕτη ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθὼς φησιν ὁ ποιητής. Ἄλλως. τοῦτο ἀγροικικὸν καὶ ἀφελὲς τὸ ἦθος, ὅτι ἡ μήτηρ μου ἀδικεῖ με, μὴ προαγωγεύουσα τὴν ἐμὴν ἐρωμένην πρὸς ἐμέ· καὶ ταῦτα ὁρῶσά με ὑπὸ τοῦ ἔρωτος ἰσχναινόμενον καὶ λεπτυνόμενον καθ' ἑκάστην ἡμέραν. διὰ τοῦτο καὶ ἐγὼ ἀντιλυπήσω αὐτήν, [1] προφασιζόμενος, ὅτι τὴν κεφαλήν μου ὀδυνῶμαι, καὶ τοὺς πόδας μου ἀμφοτέρους, ἐπεὶ τοῦ ἔρωτός μου [ἡ μήτηρ] οὐ φροντίζει. — ΣΧΟΛ. ΝΕΩΤ. Ἁ ΜΑΤΗΡ, ἡ Θόωσα. καὶ Ὅμηρος· Θόωσα δέ με τέκε μήτηρ, s. l. L. P.

68. ΣΧΟΛ. ΝΕΩΤ. Ποχ' ὅΛΩΣ, παντελῶς, s. l. C. Ποτι τιν, ἐν σοί, s. l. M. ΦΙΛΟΝ, προσφιλὲς ἐμοὶ ἤγουν ὃ ἐγὼ ποθῶ, s. l. M.

69. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΑΡ, ἡμέραν ἐφ' ἡμέρας, s. l. M. ΛΕΠΤΟΝ, τήκομαι γὰρ ὑπὸ τοῦ ἔρωτος, s. l. M. ἤγουν τηκόμενον τῷ ἔρωτι, s. l. P.

70. ΣΧΟΛ. ΝΕΩΤ. ΦΑΣΩ, φήσω, εἴπω, s. l. M. P. ΤΑΝ

---

(1) πρόφασίν τινα ποιήσομαι τὴν κεφαλὴν ἀλγεῖν καὶ τοὺς πόδας, ὡς ἂν καὶ ἡ μήτηρ λυπηθεῖσα, ζητήσῃ θεραπεῦσαι μου τὸν ἔρωτα θηλονότι. M.

Digitized by Google

Σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας

V. 71. σφύσδην Junt. Brunck. σφύζειν y. *A*. Vat. 12. σφύζην g, Ott. Vat. 5, 6, 19, L, Med. φύσδειν [illegible] Taur. σφυζῆν l. φύσδην Q, et corr. σφύζην. σφύσδεν et corr. σφύσδειν w. — ἀνιασθῇ c, d, Z, Junt. Call. Brunck. ἀνιαθῆ v, Q. ἀνίσθη k, w. — κἠγώ *A*. Y.

V. 72. πῶ p, et Q pro var. l. πᾶ. Brunck. — ἐκπεποτήσαι Ott. N. Y. Z, Ald. Call. edd. vett.

V. 73. αἴθ D. — ταλαρ. p, ap. Sanctam. (incertum an pro ος vel ους sit abbreviatio). — πλέκοιο e. πλέκεις Vat. 10. πέκοις Vat. ap. Sanctam. — θαλὸν c, k, l, w, x, Call. — ἀμήσας G. Y.

ΚΕΦΑΛΑΝ. Προφασισθῶ, καὶ πρόσφατον ποιήσομαι φωνὴν κεφαλαλγεῖν· οὐ γὰρ τοῦ ἔρωτός μου ἡ μήτηρ φροντίζει. J.

71. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΥΣΔΕΙΝ, ἀλγεῖν, s. l. M. φλεγμαίνειν, s. l. L. ΑΝΙΑΘΗι, ἵνα λυπηθῇ βλέπουσά με πάσχοντα ὅπερ λυπηρὸν ταῖς μητράσιν, s. l. M.

72. ΣΧΟΛ. ΠΑΛ. Ὥςπερ συστραφεὶς καὶ ἀλγήσας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως, πρὸς ἑαυτὸν διαλέγεται, ποῦ τὰς φρένας, ὦ Κύκλωψ, ἐκπεπετασμένας καὶ πεπλανημένας ἔχεις; ἐὰν ἀπελθὼν καλαθίσκους συμπλέκῃς καὶ πόαν θερίσας τοῖς ἀρνίοις φέροις, ἴσως γένοιο φρονιμώτερος. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΣ ΦΡΕΝΑΣ, καθ' ὅλον καὶ μέρος λέγε, s. l. M. ΕΚΠΕΠΟΤΑΣΑΙ, ἐκπεπότησαι, ἐξέβης, s. l. M. τῶν φρενῶν ἀπέπτης, s. l. L. P.

73. ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΚ', εἴθε ἂν ἐλθών, s. l. M. ΤΑΛΑΡΩΣ, ταλάρους, κοφίνια τὰ κοινῶς τυροβόλια, s. l. M. ΘΑΛΛΟΝ. βοτάνην, s. l. M. ΑΜΑΣΑΣ, σωρεύσας, s. l. L.

Digitized by Google

Τοῖς ἄρνεσσι φέρεις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσάν ἄμελγε· τί τὰν φεύγοντα διώκεις; 75
Εὑρήσεῖς Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,

V. 74. τοῖς ἄρν. [illegible] vulgo cum *A*. P. vett. edd. Harles. ταῖς ἄρν. k, p, v, Vat. [illegible]8, Q, Junt. Valck. Gaisf. Kiessl. — ἄρνεσι p, v, *A*. P. — φέρεις *A*. — καὶ πολὺ c, k, w, p, Colb. Taur. C. D. K. L. M. P. Q, in quo f. γρ. καπολύ. κε καὶ π. v, F. μὲν πολὺ G. — ἔχεις, a, c, v, Colb. Taur. B. K. ἔχες g, Ott. Z, Ald. Call. ἔχης et corr. ἔχοις D. — νῶν c, k, Colb. Taur. B. D. K. M. Q, Vat. 12.

V. 75. παροῦσαν Vat. 12.

V. 76. εὑρησεῖς Brunck. Kiessl. — γαλατείας d. — καὶ om. c, K. M. — καλλίονα c. καλλίωνα M.

V. 77. συμπαισδε μὲν a. μοι pro με B. D. — κέλοντι w, Colb. Vat. 3, B. D. J. Q. κέλλονται p. θέλοντι Vat.

---

74. ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΧΑ, ταχέως, s. l. M. ΠΟΛΥ ΜΑΛΛΟΝ, ἤγουν δόξεις μᾶλλον νοῦν ἔχειν, s. l. M. εἰς φρόνησιν πλείονα ἔλθοις, s. l. L. P.

75. ΣΧΟΛ. ΠΑΛ. Ὁ νοῦς· τί πρὸς ἀμηχανίαν [1] τρέπῃ; Ἡσίοδος· Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν τὰν ἑτοιμα διώκει. κατὰ τὴν παροιμίαν τοῦτο λέγει. τὸν θέλοντα βοῦν ἔλαυνε· ἤγουν, τὴν ἀγαπῶσάν [2] σε φίλει. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΡΕΟΙΣΑΝ, τὴν παροῦσάν σοι, s. l. M. τὴν οὖσαν πλησίον, s. l. *A*. ΑΜΕΛΓΕ, ἤγουν ἔχε, s. l. M.

76. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΛΛΙΟΝ', κρείττονα τὸ εἶδος, s. l. M.

77. ΣΧΟΛ. ΠΑΛ. [ΚΙΧΑ. Γελῶσι δὲ πᾶσαι, ἐπὰν καὶ ἀκούσωμαὶ αὐτῶν. ἴσως δὲ καταγελῶμαι αὐταῖς.] — ΣΧΟΛ. ΝΕΩΤ. ΚΕΛΟΝΤΑΙ, προστάσσουσι, λέγουσι, s. l. M. θέλουσι, s. l. L. P.

---

(1) Debetur Toupio pro τρέπει. *Kiessl.* — (2) σε cum M et Gaisf. addidimus. *Gail.*

Digitized by Google

Κιχλίσδοντι δὲ πᾶσαι, ἐπάν κ' αὐταῖς ὑπακοίσω·
Δηλονότ' ἐν τᾷ γᾷ κηγών τις φαίνομαι ἥμες.
Οὐτῶς τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα, 80
Μουσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ χρυσὸν ἔδωκεν.

V. 78. κιχλίσδοντι sic cum n, p, r, v, w, Reisk. Valck. Gaisf. Harles. Kiessl. κιχλίζοντι *A*, Ald. Call. edd. vett. — ἐπεὶ a, c, k, p, s, v, w, Colb. Taur. Scheller. Vat. 3, 6, 8, 9, 10, *A*. B. C. D. G. J. K. L. M. P. Q. Y. Brunck. ἐπὰν d, Kiessl. — κ' αὐτὸς v, w. κ' αὐτῆς P. — ὑπακούσω *A*. F. K. M. N. O. P. Y. ὑπακουσῶ B. C. D. G. J. L. ἐπακουσῶ p. ὑπ' ἀκουσῶ, ἐ sup. ὑπ. Q.

V. 79. δῆλον ὅτ' p, Ott. *A*. Q (γρ. τόγ'). Junt. Call. Med. — κῆγὼν Vat. 8, Gaisf. Kiessl. κήγὼ Y. — ἥμεν Vat. 8, 9, F. G. Y. εἶναι Vat. 3, 5, 6, 10, p, v, w, *A*. B. J. K. L. M. P. Q.

V. 80. ἐποίμανε p, v, w, Vat. 5, 6.

V. 81. δὲ om. k. — ἀῆγ' Y. — ἔδωκε *A*.

---

78. ΣΧΟΛ. ΝΕΩΤ. ΚΙΧΛΙΣΔΟΝΤΙ, ἠχοῦσιν, ᾄδουσι, s. l. M. ΕΠΕΙ Κ', ἐπεὶ ἄν, s. l. M. ὁπηνίκα, s. l. L.

79. ΣΧΟΛ. ΝΕΩΤ. ΚΗΓΩΝ ΤΙΣ ΦΑΙΝΟΜΑΙ, ἤγουν τῶν πολυσήμων εἰμὶ καὶ ὀνομαστῶν, s. l. L.

80. ΣΧΟΛ. ΠΑΛ. Πρὸς τὸν Νικίαν ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ· οὕτως ὁ Πολύφημος, φησί, μετεχειρίζετο τὸν [1] ἔρωτα, ἐθεράπευε μελουργῶν. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΟΙΜΑΙΝΕΝ, μετήρχετο, διεξῆγε, s. l. M. κατεπρᾴυνεν, s. l. C.

81. ΣΧΟΛ. ΠΑΛ. Εὐχερέστερον δὲ διέζη, παρὸ [2] μισθὸν δοῦναι, εἰς θεραπείαν τοῦ ἔρωτος δηλονότι, ἢ εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν. [εὐκόλως τὸν ἔρωτα ἔφερεν οὕτως· ἢ εἰ χρυσὸν δοὺς φάρμακον ὠνήσατο. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΡΑΙΟΝ ΔΕ ΔΙΑΓΕ. ῥᾷον δὲ διῆγεν ᾄδων, ἢ χρυσίον εἶχε δοῦναι ὅπως πείσῃ τὴν Γαλάτειαν. J.

---

(1) ἔρωτα τῇ σοφίᾳ τῶν μουσῶν ᾄδων. M. — (2) Toupius legit παρὸ μὴ μισθὸν δοῦναι· *quod nihil impendisset.* Particulam παρὸ secus accepit. *Kiessl.*

Digitized by Google

ΥΠΟΘΕΣΙΣ 1

ΤΟΥ ΔΩΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

[2] Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Ἀΐτας, γέγραπται δὲ ἰάδι διαλέκτῳ· [3] ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προςώπου πρὸς ἐρώμενον, [4] ἐπιγέγραπται δὲ οὕτως, ἐπεὶ καὶ τοὺς ἐρωμένους Ἀΐτας ἔνιοι καλοῦσιν, ὡς Θεσσαλοί. καὶ Ἀλκμὰν τὰς ἐπεράστους κόρας Ἀΐτας λέγει· οἱ δέ φασιν Ἀΐτας τοὺς [5] φίλους μεταθέσει τοῦ ἀντιστοίχου· ἢ Ἀΐτας, οἱονεὶ μὴ ἰταμούς· ἢ Ἀΐτας [6] ὁ σύμπνους καὶ συναΐτης καὶ συμπολίτης. εἰ δὲ ἐπὶ ἐρωμένου τάττοιτο, Ἀΐτης ἂν λέγοιτο [7] ἀπὸ τοῦ Ἄειν, καὶ εἰςπνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι· [8] ἐκτίθεται [9] δὲ ὅπως ὁ ἐρῶν † καὶ οὐ φείδεται [10] θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακτῆρας· εὔχεται δέ, [11] τῶν δύο ψυχῶν ἁρμογὴν, αὐτοῖς γενέσθαι, καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους [12] ἐμμένουσαν,

---

(1) Ἐρατοσθένους addit Vat. 3 — (2) Ἐπιγράφεται usque ad ἰάδι διαλέκτῳ. om. Y. — (3) ὁ λόγος Y. — (4) τὸ δὲ (ὅθεν κ. τὸ ἐπ. Vat. Colb. Call.) ἐπίγραμμα, Ἀΐτας· ἐπειδὴ τοὺς ἐ. ἔνιοι Ἀΐτας κ. ὡς Θ. καὶ γὰρ Ἀ. τ. ἐ. κ. λ. Ἀΐτας. οἱ δὲ Ἀΐτας τοὺς ἑταίρους· φασὶ δὲ (τινες Call.) γενέσθαι τοὺς ἀγαθοὺς, οἷον (ἤγουν Colb.) μὴ ἴτας ἀντὶ τοῦ (μὴ Vat. Colb. Call.) ἰταμούς. ἢ Ἀΐτυρος (ἀΐτης ὁ συναΐτης καὶ Vat. Colb. Call.) συμπολίτης. εἰ δὲ ἐπ' ἐρωμένου τάσσοιτο (λέγεται Vat. Colb. Call.) ἀπὸ τοῦ εἰσάειν καὶ ε. τ. ἔρ. τῷ ἀ. Y, Vat. Colb. Call. — (5) φίλους [ἑταίρους M. D.] φασὶ δὲ γενέσθαι τοὺς ἀγαθοὺς, ἤγουν μὴ ἴτας, ἀντὶ τοῦ μὴ ἰταμούς. B. D. Q. — (6) ὁ σύμπνους om. Q. — (7) ἀπὸ τοῦ Εἰςάειν B. D. Q. — (8) δέ πως D. πῶς Vat. Colb. Call. — (9) desunt cetera in Y. — (10) ἀσάμενος N. — (11) τῶν om. Vat. Colb. Call. — (12) παραμένουσαν B.D.Q, Vat. Colb. περιμέν. Call.

Digitized by Google

ἵνα καὶ μετὰ θάνατον οἱ [1] μετ' αὐτοὺς φημίσωσιν αὐτῶν [2] τὴν ὁμόνοιαν, [3] λέγοντες ἐκ τοῦ χρυσοῦ γένους γεγενῆσθαι 4 αὐτοὺς, οἵτινες ἀμοιβὴν φιλίας [5] ἔπνευσαν πρὸς [6] ἀλλήλους. ἐπαινεῖ δὲ καὶ τοὺς Μεγαρεῖς, ἐπὶ τῷ τετιμηκέναι Διοκλέα, ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου, 7 ἢ ὑπὲρ τῆς ἐκείνου τελευτῆς ἐμπεσόντα εἰς πόλεμον· 8 ὅθεν καὶ τοὺς Μεγαρεῖς θάψαι αὐτὸν δημοσίᾳ, καὶ τιμᾶν ὡς ἥρωα, ἀγῶνά τε ἐπ' αὐτῷ ποιεῖν, 9 ἐν ᾧ τοὺς καλοὺς περὶ [10] φιλημάτων ἀγωνίζεσθαι· [11] τὸν δὲ καταφιλήσαντά τινα [12] ἥδιστον τοῦτον [13] ὑπὸ τῶν ἄλλων [14] στεφανοῦσθαι.

[Προςφωνητικόν. Ἰακόν. M. Ἰάδι διαλέκτῳ. G. J. τῇ κοινῇ ἰάδι. B. D. M. Ἰάδι ἢ δωρίδι. N.]

---

(1) μεθ' ἡμᾶς Vat. Colb. Call. —(2) τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν. Q, Vat. Colb. Call. —(3) λέγ. ἡμᾶς Vat. Colb. Call. —(4) αὐτοὺς, ἢ οἵτινες, B. D. Q. πεφυκέναι τούςδε ἢ οἵτ. Vat. Colb. item Call. in quo τούς δε εἴτινες. —(5) ἐνέπνευσαν N. ἔμπνευσαν Scheller. —(6) ἀλλήλους· ἤγουν φιλίαν. ἐπαινεῖ. Q. διὰ τὴν π. ἀ. φιλίαν Vat. φιλίαν tantum Colb. —(7) καὶ ὑπέρ B. D. N. Q. M, Colb. Scheller. —(8) ὅθεν οἱ Μεγαρεῖς ἔθαψαν αὐτὸν δ., κ. ἐτίμησαν ὡ. ἡ. καὶ ἀγῶνα ἐποίουν ἐπ' αὐτῷ, ἐν ᾧ φασὶ τ. κ. π. φιλήματος ἀγ. Colb. et fere Vat. —(9) ἐν ᾧ, φασι, τοὺς B. D. —(10) φιλήματος D. Q. —(11) τὸν δε usque ad στεφανοῦσθαι om. Colb. Vat. —(12) ἥδιστα N. —(13) ὑπὸ κριτοῦ M. ἀπὸ τοῦ κριτοῦ στ. λέγουσιν Call. —(14) Ἐπαινέσειε δ' ἄν τις τῆς παραβολῆς τὸν ποιητὴν· παραβάλλει γὰρ τῷ πόθῳ τὸ καῦμα, τὴν δὲ παρουσίαν τοῦ ἐρωμένου δρυῖ κατασκιαζούσῃ. hæc post στεφανοῦσθαι adduntur in B. Q, et post ἀγωνίζεσθαι in Colb. et Vat.

Digitized by Google

ARGUMENTUM

IDYLLII XII.

41. ΣΧΟΛ. ΠΑΛ. [1] ΧΕΛΙΔΟΝΙΟΝ. φυτάριόν ἐστι πλατύφυλλον, μέλαν, ὡςεὶ χελιδών, [2] ὃ ἅμα τῷ φανῆναι [3] τὴν χελιδόνα ἀνθεῖ. ΑΔΙΑΝΤΟΝ βοτάνη ἐστὶν ἀεὶ καὶ διαπαντὸς [4] ἄδροχον. ὅθεν καὶ τὸ ὄνομα ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ διαίνω, τὸ βρέχω· ἤγουν, τὸ μηδ' ὅλως βρεχόμενον, διὰ τὸ εἶναι ὀρθόν τε καὶ ὀξὺ καὶ γλίσχρον. ἔστι δὲ ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα καὶ μέλανα. καυλὸν δὲ οὐκ ἔχει, οὐδὲ ἄνθος, οὐδὲ καρπόν, ῥίζαν δὲ μόνην ἄχρηστον καὶ λεπτήν. καλεῖται δὲ οὕτω, παρὰ τὸ μὴ [5] δεύεσθαι ὕδατι, ἐπεί, ἐὰν ἐπιχέηται ὕδωρ ἐπὶ τῶν φύλλων, οὐ μένει, ἀλλ' ὀλισθαίνει. ΔΕΥΣΑΙ γὰρ τὸ βρέξαι. [ΑΔΙΑΝΤΟΝ βοτάνη τις ἐν ὕδασι φυούσα, ἀπὸ τοῦ ἀεὶ διαίνεσθαι καὶ βρέχεσθαι κατὰ συγκοπήν, οὐκ ἀπὸ τοῦ ἄδροχος εἶναι, ὥς τινες φασίν. ἔστι δὲ ὀξεῖά τις καὶ ἰθυτενὴς ὡς ἡ ἄγρωστις καὶ λεπτή. Μ. Ἀδίαντόν ἐστι διὰ παντὸς ἄδροχον καὶ ταχέως ξηραινόμενον, καὶ ὕδωρ αὐτῷ ἐπιβληθὲν καὶ ἐπισχεθὲν διολισθαίνει. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΧΕΛΙΔΟΝΙΟΝ, ὃ τὰς τῶν χελιδόνων κόρας τυφλωθείσας φωτίζει, s. l. Q. ΑΔΙΑΝΤΟΝ, βοτάνη οὕτω καλουμένη ἐν ὕδατι φύουσα, s. l. M.

42. ΣΧΟΛ. ΠΑΛ. ΕΙΛΙΤΕΝΗΣ. Ἡ συνεστραμμένη, καθὸ εἰλεῖται ἐπὶ μῆκος καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς,

---

(1) Χ. βοτάνη τὶς πλατυφύλλος, μέλαινα ὡς ἡ χελιδών, ἥ τις ἅμα τῷ φ. τ. χ. ἀνθεῖ, καὶ τυφλωθεῖσαν ταύτην φωτίζει ἐπιτεθεῖσα M. — (2) ἡ ὅτι ἅμα *Hemsterh.* — (3) τῇ χελιδόνι Call. — (4) ἄδρωτον Vat. 3. — (5) lege διαίνεσθαι ἤγουν δεύεσθαι. *Jacobs.*

Digitized by Google

Ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνίκα καὶ Μαλίς, ἔαρ θ' ὁρόωσα Νυχεία. 45

V. 43. μέσῳ J. M. P. — ἀρτίζοντι Vat. 10, P. ἀρτίσθοντο Brunck. Kiessl.

V. 44. δειναὶ Ott. — ἀγροιῶται d, g, h, Ott. x, N, Med. ἀγριώταις c, e, p, v, C. M. Q, Call. ἀγροιώταις D.

V. 45. Εὐνείκα a, d, e, g, h, k, l, p, s, v, w, x, Vat. 9, 10, B. C. D. F. J. L. N. P. Q. Y, Gaisf. Kiessl. εὐνείκα Reisk. — Νύσχεια M. Νύχεια, Νυχεῖα Vatt. ap. Sanctam.

ἢ τις παρὰ τοῖς γεωργοῖς καλεῖται ἀγρία. ἄλλοι δὲ τὴν ἄγρωστίν φασιν εἶναι βοτάνην πρασοειδῆ, ἣν ἰδιωτικῶς φασὶ κολλητζίδαν. [ΑΓΡΩΣΤΙΣ ἡ παρὰ τοῖς γεωργοῖς καλουμένη ἀγρία· εἱλιτένης δὲ καὶ ὡς συνεσταλμένη, καὶ εἰς μῆκος ἐκτεινομένη καὶ τοῖς φυτοῖς κισσοῦ δίκην περιπλεκομένη. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΛΙΤΕΝΗΣ, ἥτις τείνεται εἱλουμένη, s. l. L. P. ἡ ἑλικοειδῶς ἐκτεινομένη, s. l. M.

43. ΣΧΟΛ. ΠΑΛ. ΑΡΤΙΖΟΝΤΟ. Ἡτοίμαζον, εὐτρέπιζον. συνέβη, φησί, καθ' ὃν καιρὸν ὁ Ὕλας ἦλθεν ἀντλῆσαι, τὰς νύμφας αὐτόθι χορείαν στήσασθαι. — ΣΧΟΛ. ΝΕΩΤ. ΝΥΜΦΑΙ, αἱ Νηρηΐδες, s. l. M. ΑΡΤΙΖΟΝΤΟ, κατεσκεύαζον, s. l. M. ἡτοιμάζοντο, s. l. L.

44. ΣΧΟΛ. ΠΑΛ. ΔΕΙΝΑΙ. Παρόσον φόβον ἔσθ' ὅτε αὐτοῖς ἐγγεννῶσί τε καὶ ἐπάγουσιν, ὅθεν καὶ νυμφολήπτους τινάς φαμεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΝΥΜΦΑΙ, ἐπακάληψις τὸ σχῆμα, s. l. M. ΑΚΟΙΜΗΤΟΙ, ἀθάνατοι, ἄγρυπνοι, s. l. M. ΔΕΙΝΑΙ, χαλεπαί, s. l. M. φοβεραί, s. l. L. P. ΑΓΡΟΙΩΤΑΙΣ, τοῖς ἐν ἀγροῖς οἰκοῦσι φαντάζουσαι, αὐτοὺς καὶ τὸν νοῦν παρατρέπουσαι, s. l. M.

45. ΣΧΟΛ. ΠΑΛ. ΕΑΡ. [1] Ἵλαρὸν καὶ ἡδὺ βλέπουσα· ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος.

---

(1) χάριεν καὶ ἵλαρὸν βλέπουσα ἀ. τ. κατὰ τὸ ἔ. τ. M.

Digitized by Google

Ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσόν,
Βάψαι ἐπειγόμενος· ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν·

V. 46. εἶτι w. — κοῦρος sic vulgo cum F. G. J. L. P. Y. Z, Reisk. Harles. κῶρος Brunck. Valck. Gaisf. Kiessl. — ποτῷ sine ι subscripto Vat. apud Sanctam. Ald. Call. et vett. edd. ante Stephan. quam lectionem recepit Kiessl. cum Dahl. — κρόσσον Vat.

V. 47. χερσὶν h, v, w, et F, cujus in margine γρ. χερὶ. χερσὶ Taur. B. — ἔφυσσαν Vat.

---

46. ΣΧΟΛ. ΠΑΛ. Ὁ μὲν δὴ νέος Ὕλας ἐπὶ τῷ ὕδατι τὸν ΚΡΩΣΣΟΝ, ἤγουν τὸ ὑδροφόρον ἀγγεῖον εἶχε, τὸ πολυχώρητον, ἐπειγόμενος πληρῶσαι αὐτὸ ὕδατος. αἱ δὲ νύμφαι ἐνεπλάκησαν τῇ χειρὶ αὐτοῦ· τὰς γὰρ φρένας αὐτῶν τὰς ἀπαλὰς ἁπασῶν ὁ ἔρως περιέσχεν ἕνεκεν τοῦ παιδὸς τοῦ Ἀργείου. κατέπεσε δὲ εἰς τὸ βαθὺ ὕδωρ δίκην ἀστέρος, ὅστις πυρώδης ὢν εἰς τὴν θάλατταν κατέπεσεν ἐξαίφνης· ὅστις σύμβολον εὐπλοίας ἐστί. συμφωνεῖ δὲ τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος καὶ Νίκανδρος. ὁ δὲ [1] Ὄνασος ἐν τοῖς Ἀμαζονικοῖς φησὶν αὐτὸν εἰς τὴν κρήνην πεσεῖν καὶ ἀποθανεῖν. ΚΡΩΣΣΟΣ δὲ διὰ τοῦ ω μεγάλου ὑδροδόχον ἀγγεῖόν ἐστι· διὰ δὲ τοῦ ο μικροῦ εἶδος ἱματίου καὶ πύργου. [ΚΡΩΣΣΟΣ τὸ ἀγγεῖον τὸ εἰς ὑδάτων μὲν κομιδὴν ἐπιτήδειον, μέγα. ΚΡΟΣΣΟΣ δὲ τὸ ἄκρον τοῦ πύργου καὶ τὸ τοῦ ἱματίου, ὅπερ οἱ κοινοὶ ΑΚΡΟΣΙΟΝ λέγουσι, μικρόν. Μ.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΕΙΧΕ ΠΟΤΩι, ἐπέβαλε τῷ ὕδατι πολυχώρητον ὑδρίαν, s. l. L. P. ΠΟΛΥΧΑΝΔΕΑ, εὐρύστομον, s. l. M. ΚΡΩΣΣΟΝ, ἀγγεῖον στάμνον, s. l. M.

47. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΕΙΓΟΜΕΝΟΣ, σπουδάζων, s. l. M. ΕΦΥΣΑΝ, περιεπλάκησαν, ἡρμόσθησαν, s. l. L. P.

---

(1) Verum nomen pro Ὄνατος restituimus cum Reinesio et Wartono ex Schol. Apollonii Rh. I, 1207, 1236. Scripsit *Amazonida* Marsus, poëta romanus, a Martiale memoratus. *Kiessl.*

Digitized by Google

Πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἀμφεκάλυψεν
Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
Ἀθρόος, ὡς ὅτε πυῤῥὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστὴρ 50
Ἀθρόος ἐς πόντον· ναύταις δέ τις εἶπεν ἑταῖρος,

V. 48. ἅπλας p. ἁπλάς Q. ἁπαλὼς c. — ἀμφεκάλυψεν sic vulgo cum Reisk. Harles. ἀμφεκάλυψε B. C. D. F. G. J. K. L. N. Q. Y. Z. ἐκάλυψεν et corr. ἀμφεκάλυψεν M. ἀπεκάλυψεν p, P, Vat. 5 et 9 apud Sanctam. pro var. l. exhibent ἐξεφόβησεν. ἐξεφηβόησεν k. ἀμφεδόνησεν Tolet. Valck. Gaisf.

V. 49. κατήρειπε v.

V. 50. ἀθρόως v, Vatt. 5, 12, G. P. — ὅτε sic vulgo cum Y. Z, Reisk. Harles. ὅκα Valck. Gaisf. Kiessl. — πυῤῥὸς sic vulgo cum B. C. D. F. J. K. M. N. Q. Y. Z, Reisk. Harles. Vett. edd. πυρσὸς e, k, v, Vat. 8, Scheller. L. P, Junt. Steph. in marg. Valck. Gaisf. Kiessl. πυρὸς w. — οὐρανοῦ sic vulgo cum Y. Z, Reisk. Harles. Vett. edd. οὐρανῶ Wintert. Valck. Gaisf. ὠρανῶ Brunck. Kiessl. — ἤρειπεν v. — versum om. c, Vat. 3, 6.

V. 51. ἀθρόως w, Vat. 5, 12, G. ἄθρον Vat. 10. ἐξαίφνης h, v. — ἐς πόντον sic vulgo cum h, Vat. 5, 12, F. K. M. N. Z, Reisk. Harles. ἐν πόντῳ a, p, s, w, Colb. Taur. D. J. L. P. Q. Y, Vat. 3, 6, 9, Valck. Gaisf. Kiessl. ἐπὶ πόντον v. ἐν πόντων Vat. 10. — ναύτας Brunck. Kiessl. — ἑταίροις k, v, Tolet. Junt. Brunck. Kiessl.

---

48. Σχολ. νεωτ. Ἁπαλας, μαλακάς, s. l. M.

49. Σχολ. νεωτ. Επι παιδι, ἤγουν τῷ Ὕλᾳ, s. l. M. Κατηριπεν, κατέβαλεν ἑαυτόν, s. l. M.

50. Σχολ. νεωτ. Αθροος, ἐξαίφνης, s. l. C. M. Ὡς ὅτε, ὥςπερ, s. l. M. Πυῤῥος, ξανθός, s. l. M. Ηριπεν, κατέβαλεν ἑαυτόν, s. l. M.

51. Σχολ. παλ. Ἰδὼν γάρ τις αὐτὸν καταπεσόντα λέγει πρὸς τοὺς συμπλέοντας· ὦ παῖδες, μετεωρίσατε τὰ ἱστία· ὁ γὰρ ἄνεμος φορὸς καὶ πρὸς πλεῦσιν ἐπιτηδειότατος. Ἄλλως.

Digitized by Google

Κουφότερ', ὦ παῖδες, ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος.
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρόν ἔχοισαι
Δακρυόεντ', ἀγανοῖσι παρεψύχοντ' ἐπέεσσιν·
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδὶ 55

V. 52. ποιεῖθ p, w, Vat. 6, Q, Brunck. Kiessl. — πλευςικὸν g, Ott. Med. πνευςικὸς Call. Vett. nonnullæ edd.

V. 53. γούνασιν F. K. γόνασι v. — κοῦρον sic vulgo cum F. K. M. P. Q. Y. Z, Reisk. Harles. vett. edd. κῶρον Brunck. Valck. Gaisf. Kiessl.

V. 54. δακρυόωντ' Q. — παρεψύχοντ' p, v, w, Q, edd. recent. παρεψυχῶντ' a, d, e, g, h, l, x, F. K. M. N. Z. Ald. Call. vett. edd. Reisk. παρεψύχοντ' et corr. παρεμψύχοντ' D. — ἐπέεσσι Y.

V. 55. Ἀμφιτρυωνίδας p, Colb. Taur. v, w, L. M. P. Q. ἀμφιτριωνίδας, B. C. K. item D, in quo corr. Ἀμφιτριωνιάδας. — παρασόμενος G. — ἐπὶ pro περὶ J. — παιδίον L.

Εὔλυτα καὶ [1] εὐτρεπῆ ποιεῖτε τὰ ἱστία. οὔριον γὰρ ἐπιγενήσεται τὸ πνεῦμα, ὡς τοιούτου ὄντος σημείου, ἐπὰν πέσῃ ἀστήρ. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΣ ΠΟΝΤΟΝ, εἰς θάλασσαν, s. l. M. ΝΑΥΤΑΙΣ, τῶν ἐν τῇ Ἀργοῖ, s. l. M.

52. ΣΧΟΛ. ΝΕΩΤ. ΚΟΥΦΟΤΕΡ', ἤγουν πετάσατε, s. l. M. ΟΠΛΑ, ἤγουν τὰ ἄρμενα, s. l. M. ΠΛΕΥΣΤΙΚΟΣ, ἐπιτήδειος εἰς τὸ πλέειν ἄνεμος, s. l. M.

53. ΣΧΟΛ. ΠΛΑ. Αἱ μὲν δὴ νύμφαι τὸν Ὕλαν ἐπὶ τῶν γονάτων ἀνέχουσαι παρεψύχοντο καὶ παρεμυθοῦντο ἱλαροῖς τισὶ λόγοις κλαίοντα. βουκολικῶς δὲ τὸ παρεψύχοντο ὡς ἐπὶ τῶν πηγῶν. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΕΤΕΡΟΙΣ, ἰδίοις, s. l. C. M. ΚΟΥΡΟΝ, τὸν νέον, s. l. C. M.

54. ΣΧΟΛ. ΝΕΩΤ. ΑΓΑΝΟΙΣΙ, εὐφραντοῖς, s. l. M. προςηνίσι (sic), s. l. C. ΠΑΡΕΨΥΧΟΝΤ', Παρεμυθοῦντο. χαριέντως δὲ ταῦτο ὡς ἐπὶ πηγῆς φησίν. L. P. παρηγόρουν, s. l. C.

55. ΣΧΟΛ. ΠΛΑ. Ὁ δὲ Ἡρακλῆς ὁ τοῦ Ἀμφιτρύωνος,

---

(1) Vulgo εὐπρεπῆ. Veram lectionem, quam etiam Glossæ Laurent. exhibent, restituit Toupius. *Kiessl.*

Digitized by Google

Ὤιχετο, Μαιωτιστὶ λαβὼν ἐυκαμπέα τόξα,
Καὶ ῥόπαλον, τόν οἱ αἰὲν ἐχάνδανε δεξιτερὰ χεὶρ.
Τρὶς μὲν Ὕλαν ἄυσεν ὅσον βαθὺς ἤρυγε λαιμός·

V. 56. μαιωςιγὶ N et F, qui in marg. μαιωτιςι. — βαλὼν P.

V. 57. ἀεὶ Y. — δεξιτερὰ sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. δεξιτερὴ quod Q. Y. Z, vett. edd. Reisk. Harles.

V. 58. ὕλλε a. — ἄεισε v. ἄεισεν Vat. 3. — βαρὺς L. βαθὺς et corr. βαρὺς D. — ὄρυγε P.

ἕνεκεν τοῦ παιδὸς ταρασσόμενος, ἐπορεύθη, κατὰ τοὺς Σκύθας λαβὼν τὰ τόξα τὰ κυκλοτερῆ. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΡΑΣΣΟΜΕΝ. λυπούμενος, s. l. M.

56. ΣΧΟΛ. ΠΑΛ. ΜΑΙΩΤΙΣΤΙ. Ἤτοι [1] Σκυθιστί. Μαιῶται οἱ Σκύθαι περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς σκυθικοῖς τόξοις, διδαχθεὶς παρά τινος Σκύθου [2] Τευτάρου, ὡς ἱστορεῖ [3] Ἡρόδωρος καὶ Καλλίμαχος. — ΣΧΟΛ. ΝΕΩΤ. ΩΙΧΕΤΟ, ἐπορεύθη ἀγρίως μαινόμενος, s. l. M. ΜΑΙΩΤΙΣΤΙ, ἐπὶ τοὺς Σκύθας, s. l. C. ΕΥΚΑΜΠΕΑ, εὔελκυστα; s. l. M.

57. ΣΧΟΛ. ΠΑΛ. ΕΧΑΝΔΑΝΕ. Ἀντὶ τοῦ ἐχώρει, ἀπὸ τοῦ χάω, τὸ χωρῶ, χάδω· καὶ ἀπὸ τοῦ χάδω χαυδάνω, ὥςπερ ἀπὸ τοῦ ἥδω, τὸ εὐφραίνομαι, ἀνδάνω. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟ, ὅπερ, s. l. M. ΟΙ, αὐτῷ, s. l. M. ΕΧΑΝΔΑΝΕ, ἐχώρει, εἶχε, s. l. M. ΔΕΞΙΤΕΡΗ, δεξιά, s. l. M.

58. ΣΧΟΛ. ΠΑΛ. Ἐκ τρίτου μὲν ἐφώνησε τὸν Ὕλαν, ὅσον ΗΡΥΓΕΝ, ἤγουν ἐχώρει ὁ λαιμὸς αὐτοῦ, τοιοῦτον, ὅσον ἠδύνατο. ἐκ τρίτου δὲ καὶ ὁ παῖς ἤκουσεν αὐτοῦ βοῶντος. —

---

(1) Σα. ἀπὸ μεταφορᾶς τῶν ὁπλιζομένων ἐν τόξοις Σκυθῶν, τῶν περὶ τὴν Μαιώτιδα λίμνην οἰκούντων. Ἐ. γὰρ Ἡρ. M. — (2) τευτάλου M. πεταύλου Can. πενταύλου Vulc. — (3) Vulgo Ἡρόδοτος. correxit Hemsterhusius. *Gail.*

Digitized by Google

Τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν· ἀραιὰ δ' ἵκετο φωνὰ
Ἐξ ὕδατος· πάρεων δὲ μάλα σχεδόν, εἶδετο πόρρω. 60
Ὡς δ' ὁπότ' ἠὐγένειος ἀπόπροθι λὶς ἐςακούσας

V. 59. ἐπακούσας x. ὑπάκοισεν Brunck. — ἀραιά p, w, Q. — φωνὴ Ott. Z, Ald. Call. vett. edd. φωνὰ Steph.

V. 60. παρὼν Vat. 10.

V. 61. ὁπότ' sic cum Q. Y. Z, vett. edd. Reisk. Harles. ὁκότ' Vat. 8, Brunck. Wintert. Valck. Gaisf. Kiessl. — ἐπακούσας x. ἐσακούσας Brunck. — versum om. k.

ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΣΕΝ, ἐβόησεν, s. l. M. ΗΡΙΓΕ, ἀνέπνεεν· ἐρυγὴ γὰρ ἡ πνοή, s. l. L. P. ἔπνεεν, s. l. M.

59. ΣΧΟΛ. ΠΑΛ. Οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα [1] ἔχοντος, ἀλλ' ὡς ἐν βάθει ὄντος, καὶ ὑπὸ τῶν νυμφῶν [2] κατεχομένου. ἡ λεπτὴ δὲ καὶ ἀμυδρὰ ἡ φωνὴ αὐτοῦ ἐγένετο, ἅτε ἐν τῷ ὕδατι ὄντος, καὶ ἐγγὺς ὄντος αὐτοῦ, διὰ τὸ λεπτότατον τῆς φωνῆς.

60. ΣΧΟΛ. ΠΑΛ. ΕΙΔΕΤΟ. Ἤγουν ἐῴκει πόρρω εἶναι. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΛΑ ΣΧΕΔΟΝ, λίαν πλησίον, s. l. M. ΕΙΔΕΤΟ, ἐφαίνετο, s. l. C. ἐκαίζετο μακρὰν ὑπάρχειν, s. l. M.

61. ΣΧΟΛ. ΠΑΛ. Ὁ δὲ Ἡρακλῆς τῆς φωνῆς τοῦ παιδὸς ἀκούων, ἐκινήθη κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν καὶ λέων χαροπὸς ἐπὶ τῇ ἑαυτοῦ κοίτῃ ὢν καὶ πεινῶν, ἀκούσας νεβροῦ

---

(1) ἔχοντος, λεπτὴν ἦν ἡ φωνὴ αὐτοῦ, ἀλλ' ὡς ἐν βυθῷ κατεχομένου ὑ. τ. ὑ. διὸ καὶ ἄγαν ἐγγὺς ὤν, πάρρωθεν ἐδόκει βοᾷν, μὴ ἐξακουομένης τῆς φωνῆς αὐτοῦ καλυπτομένου τοῖς ὕδασιν. M. — (2) τὸ κατέχεσθαι ὑπὸ τῶν νυμφῶν Vat. 3. — Ceterum bene Toupius hunc locum sic restituit: οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος, ἀλλ' ὡς ἐν βάθει ὄντος, καὶ ὑπὸ τῶν νυμφῶν κατεχόμενον. ἡ λεπτὴ δὲ καὶ ἀμυδρὰ ἡ φωνὴ αὐτοῦ ἐγένετο, ἅτε ἐν τῷ ὕδατι ὄντος. Καὶ ἐγγὺς ὢν αὐτὸς, διὰ τὸ λεπτότατον τῆς φωνῆς εἴδετο, ἤγουν ἐῴκει πόρρω εἶναι. *Kiessl.* κατεχομένη Call.

Digitized by Google

Νεβρῶ φθεγξαμένας τις ἐν ὤρεσιν, ὠμοφάγος λίς,
Ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα·
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
Παῖδα ποθῶν δεδόνατο, πολὺν δ' ἐπελάμβανε χῶρον. 65
Σχέτλιοι οἱ φιλέοντες· ἁλώμενος ὅσσ' ἐμόγησεν

V. 62. φθεγξαμένω h. φθεγξαμένην C. — λὶς pro τις p, Colb. Taur. C. B. D. Q. τὶς, γρ. λὶς, w. — οὔρεσιν Ott. P. Z. — ὠποφαγήσας Vat. 8, 9, J. Y. ὠμοφαγοίσας Colb. Taur. B. C. D. G. Q. ὠμοφαγήσας et suprascr. γρ. ος λὶς s. ὠμοφάγος λὶς suprascr. γρ. ὠμοφαγοίσας w. — λὶς om. G. J. — φθεγξαμένας, τὶς interpungunt Reisk. Kiessl.

V. 63. ἑτοιμοτάτην F. P. Y. Z, vett. edd. Reisk.

V. 64. Ἡρακλέει J. — τοιοῦτο M. τοιοῦτω J. — ἀτρίπτοισιν c.

V. 65. ποθῶν c. — δεδόνητο Y. — ἐπιλάμβανε Stop. N. ἐπελάμβανον Call.

V. 66. ὡς k. ὅσ' K.

φθεγξαμένης, ἐπήδησεν εἰς τροφὴν ἑτοιμοτάτην. ἐκινήθη δὲ εἰς τὰς ἀκάνθας τὰς ἀδιοδεύτους, καὶ τετάρακτο ποθῶν τὸν παῖδα. ἐπῆλθε δὲ πολύν τινα χῶρον. — ΣΧΟΛ. ΝΕΩΤ. ΗΥΓΕΝΕΙΟΣ, εὐγένειος, s. l. M. ΑΠΟΠΡΟΘΙ, μακράν, s. l. M.

63. ΣΧΟΛ. ΝΕΩΤ. ΕΣΠΕΥΣΕΝ, ἔδραμεν, s. l. M. ΔΑΙΤΑ, εὐωχίαν, s. l. M. τροφήν, s. l. C.

64. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΙΟΥΤΟΣ, οὕτως ἐκινήθη, s. l. E. ΑΤΡΙΠΤΟΙΣ. ἀβάτοις, s. l. M. ἀπατήτοις, s. l. L. P. ταῖς ἀδιοδεύτοις, s. l. C. ΑΚΑΝΘΑΙΣ, ἤγουν ὄρεσιν ἀκανθώδεσι, s. l. M.

65. ΣΧΟΛ. ΝΕΩΤ. ΔΕΔΟΝΑΤΟ, ἐταράσσετο, s. l. M. ΕΠΕΛΑΜΒΑΝΕ, ἐπήρχετο, s. l. C. περιήρχετο, s. l. M. διήρχετο, s. l. L. P.

66. ΣΧΟΛ. ΠΑΛ. ΣΧΕΤΛΙΟΙ. Ἐλεεινοὶ οἱ φιλοῦντες. καὶ γὰρ ὁ Ἡρακλῆς πολλὰ ἐκακοπάθησε πλανώμενος εἰς τὰ ὄρη καὶ εἰς τοὺς δρυμούς. τὰ δὲ τοῦ Ἰάσονος ἐν δευτέρῳ λόγῳ ἦν αὐτῷ,

Digitized by Google

Ὤρεα καὶ δρυμώς· τὰ δ' Ἰάσονος ὕστερα πάντ' ἦς.
Ναῦς μένεν ἄρμεν' ἔχοισα μετάρσια· τῶν παρεόντων
Ἱστία δ' ἡίθεοι μεσονύκτιον ἐξεκάθαιρον,
Ἡρακλῆα μένοντες· ὁ δ' ᾗ πόδες ἄγον ἐχώρει 70

V. 67. οὔρεα Ott. F. P. Z, Ald. Call. vett. edd. ὤρεα Steph. — Ἰήσωνος J. Ἰάσωνος, et Ἰάσονος 2ª. manu, M.

V. 68. ναῦς μένεν sic cum Vat. Call. Steph. Valck. Gaisf. Kiessl. vulgo ναῦς μὲν quod a, c, d, e, h, k, l, p, v, w, x, Ott. Vat. 6, 9, 10, K. L. M. Q. Y. Z, Ald. vett. nonnullæ edd. μὴν Colb. Taur. B. C. D. F. J. μὰν s, Vat. 3, 12. ναῦς ἄμεν' Brunck. Harles. — ἄρμεν' B. C. D. F. — ἐχοῖσα p, Q. ἔχ' οἶσα F. O. — μετάρσεα L.

V. 69. ἰκρία pro ἱστία Kiessl. ex Reiskii conjectura. — ἡμὶν θέοι k.

V. 70. ἃ Ott. — πόδας ἔχων v. πόδες αἴγον J.

τουτέστι τὸ ἀκολουθεῖν αὐτῷ οὐδὲν ἡγεῖτο. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΧΕΤΛΙΟΙ. Ἐπίκρισις τὸ σχῆμα καὶ ἐπιφώνημα. M. ΕΜΟΓΗΣΕΝ, μετὰ μόχθου διῆλθεν, s. l. M.

67. ΣΧΟΛ. ΝΕΩΤ. ΤΑ Δ' ΙΑΣΩΝΟΣ. ἤγουν τὸν μὲν Ὕλαν ἐζήτει, καὶ πᾶσα ἦν αὐτῷ φροντὶς τούτου· τὰ τοῦ Ἰάσωνος (sic) δὲ ἐν δευτέρῳ εἶχε λόγῳ, s. l. M. ΥΣΤΕΡΑ ΠΑΝΤ' ΗΣ, τῷ Ἡρακλεῖ τῆς ἀναζητήσεως τοῦ Ὕλα, s. l. L. P.

68. ΣΧΟΛ. ΠΑΛ. Ἡ μὲν ναῦς τὰ ἄρμενα εἶχε μετέωρα, διὰ τῶν παρόντων. οἱ δὲ νέοι ἐκάθηραν τὰ ἱστία κατὰ τὸ μεσονύκτιον περιμένοντες τὸν Ἡρακλῆν. ὁ δὲ Ἡρακλῆς ὡς μαινόμενος ἐχώρει, ὅπου οἱ πόδες αὐτὸν ἔφερον. ὁ γὰρ ΘΕΟΣ, τουτέστιν, ὁ ἔρως, τὸ ἧπαρ αὐτοῦ ἔκοπτε. τοῦτο γάρ ἐστι τὸ ΑΜΥΣΣΕΝ. ἀμύσσω γὰρ τὸ διὰ ξυροῦ τὴν σάρκα τέμνω. ὅθεν καὶ ἀμυχαί, αἱ τοῦ δέρματος τομαί.

69. ΣΧΟΛ. ΝΕΩΤ. ΗΙΘΕΟΙ, οἱ ἔνδοξοι ἥρωες, s. l. M. ΕΞΕΚΑΘΑΙΡΟΝ, ἠυτρέπιζον, s. l. L. P.

70. ΣΧΟΛ. ΝΕΩΤ. ΜΕΝΟΝΤΕΣ, καρτεροῦντες, s. l. M.

Digitized by Google

Μαινόμενος· χαλεπὸς γάρ ἔσω θεὸς ἤπαρ ἄμυσσεν.
Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιπονάυταν,
Οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ·

V. 71. χαλεπὸς sic vulgo cum B. F. G. J. K. L. M. P. Q. Y, Harles. Kiessl. χαλεπὰ a, d, e, g, l, p, x, Ott. Vat. 10, Ald. Junt. Reisk. Valck. — ἔσω om. Y et L, in quo ab al. manu additur. δὲ θεὸς Y. — ἔμυσσεν a, p, Vat. 5, 10. ἔμυσεν v, w, Vat. 8, G. L. M. P. Q. ἄμυσεν et corr. ἄμυσσεν F.

V. 72. μὲν om. L. P. — Ὕλας J. P.

V, 73. Ἡρακλέη k. — καὶ pro δ' w.

V. 74. ἐρώησε Vat. ap. Sanct. — τριακοντόζυγον c, p, Colb. Taur. B. C. D. τριηκοντάζυγον G. τριηκοντόζυγον J. K. M. Y. — ἐς Ἀργὼ v.

---

71. ΣΧΟΛ. ΝΕΩΤ. ΧΑΛΕΠΑ, χαλεπῶς, s. l. C. ΑΜΥΣΣΕΝ, ἔτρωσεν, s. l. M. ἐσπάρασεν, s. l. L. P. ἔζεεν.

72. ΣΧΟΛ. ΠΑΛ. Κατὰ τοῦτον τὸν τρόπον ὁ κάλλιστος Ὕλας ἐναρίθμιος τοῖς θεῖς ἐγεγόνει. τὸν δὲ Ἡρακλῆν οἱ συμπλέοντες ἥρωες ἐλοιδόρουν, λέγοντες δηλονότι λειποναύταν, διότι κατέλιπε τὴν Ἀργὼ τὴν ΤΡΙΑΚΟΝΤΑΖΥΓΟΝ· τουτέστι τὴν πολυκαθεδρον, ἡ τὴν τριάκοντα ἔχουσαν καθέδρας ἐρετῶν, ὡς ἑξήκοντα εἶναι τοὺς πλέοντας. τὸ ΗΡΩΗΣΕΝ ἀντὶ τοῦ κατέλιπεν, ἐξέφυγεν, ἀπὸ τοῦ [1] ἐρωεῖσθαι. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΚΑΡΩΝ, μετὰ θεῶν, s. l. C. M.

73. ΣΧΟΛ. ΠΑΛ. [ΛΙΠΟΝΑΥΤ. Καθάπερ [2] λιποναύτην.] — ΣΧΟΛ. ΝΕΩΤ. ΗΡΩΕΣ, οἱ Ἀργοναῦται, s. l. C. ΕΚΕΡΤΟΜ. ὠνείδιζον, s. l. L. P. ΛΙΠΟΝΑΥΤ. ὡς λειποτάκτην, s. l. M.

74. ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΑΚΟΝΤΟΖΥΓΟΝ, ὡς ὑπερμεγέθη, τριάκοντα ἔχουσαν τῷ ἑνὶ μέρει καθέδρας ὡς ἑξήκοντα εἶναι ἐρετῶν, s. l. M.

---

(1) ἐρωεῖσθαι, Margo Brubach., *vel potius* ἐρωῆσαι πεζός. Kiessl. ἀρειῶσθαι Vulc. Call. — (2) λειπτάυτην Graisf. e Salv.

Πεζᾷ δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν. 75

V. 75. πεζᾷ sic cum a, c, k, p, s, v, w, z, Colb. Taur. Vat. 6, 8, 9, B. C. D. G. J. Q. Y, Reisk. Harles. πεσδᾷ Brunck. Valck. Gaisf. Kiessl. vulgo πεζὸς quod F. O. Z. πεσδεῦ Vat. 3. πεξὰ Vat. 5. πεζῶ Vat. 10. περᾶ L. P. — δ' ἐς om. v, w. εἰς p, Vat. L, P. Y. — Κόλχους v, w. κόλχους L. P. — τε om. c.

---

75. ΣΧΟΛ. ΙΔΑ. Ἰδίως ΠΕΖΟΝ φησὶν ὁ Θεόκριτος τὸν Ἡρακλέα εἰς Κόλχους ἐλθεῖν· ἡ γὰρ [1] πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς, ὑπὲρ τοῦ τὸν Ἰάσονα [2] κατορθῶσαι μόνον [3] δοκεῖν τὸν εἰς Κόλχους πλοῦν, καὶ μὴ [4] ἐξιδιοποιήσασθαι τὸν ἆθλον αὐτοῦ. Ἄλλως. πεζᾷ δ' ἐς Κόλχως.] ὁ δὲ Ἡρακλῆς τῶν Ἀργοναυτῶν ἀποπλευσάντων δηλονότι, πεζῇ ἀπῆλθεν εἰς τοὺς Κόλχους, καὶ εἰς τὸν Φᾶσιν τὸν ΑΞΕΝΟΝ, τουτέστι, τὸν κακόξενον. Μυασέας δὲ Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΕΖΑΙ, πεζῇ, s. l. M. ΦΑΣΙΝ, ποταμόν, s. l. C.

---

(1) πλείων δόξα κ. ὁ. β. Η. ὑστέρησεν ὑπὲρ M. — (2) κατορθῶσθαι Call. — (3) δοκεῖν deest in M. — (4) μὴ Ἡρακλέους δόξῃ κατορθῶσθαι. M.

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΚΑΙ ΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

[1] Ἐν τούτῳ τῷ εἰδυλλίῳ [2] ὑπόθεσίς ἐστι καταστάσεως [3] ἐρωτικῆς καὶ κοινῆς [4] τοῦ Κυνίσκας ἔρωτος· ἡ γὰρ γυνὴ τοῦ Αἰσχίνου [5] μᾶλλον προςέκειτο Λύκῳ τινί, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνύχου δέ τινος ἑταίρου προςιόντος [6] αὐτῷ [7] διὰ χρόνου, † δικαίως [8] εἰςάγεται, 9 καὶ προλέγει. [10] τὰ δὲ πράγματα ἐν Σικελίᾳ. [Sic legitur argumentum in Edit. Romana : abest a MS.]

[Δωρίδι M. Δραματικόν M.]

---

(1) Ἐν τ. τ. ε. καταστάσεως διήγησίς ἐστιν ἐρωτικῆς τοῦ τῆς Κ. ἔ. Y. — (2) διήγησις B. D. M. P, Colb. Coislin. διήγημα N, Scheller. — (3) ἐρωτικῆς κοινῆς τοῦ τῆς Κ. ἔ. N. ἐρωτικῆς κοινῆς καὶ ἔρωτος B. D. P. — (4) καὶ Colb. — (5) μᾶλλον om. M. N. P. Y, Scheller. — (6) αὐτοῦ N. — (7) διὰ χρόνου. Δικαίως εἰσάγεται τὰ πράγματα ἐν Σ. L. P. — (8) εἰσάγεται προλέγων M. εἰσάγεται προλέγων ὁ Αἰσχίνης, Χαίρειν, φησί, πολλὰ τὸν ἄνδρα Θυώνυχον· λείπει δὲ τῷ λόγῳ τὸ γένοιτο ἢ τὸ λέγω B. — εἰσάγεται προλέγων Αἰσχίνου Y. προλέγων ὁ Αἰσχίνης Colb. — (9) καὶ προλέγει om. N. προλογίζει Scheller. — (10) τὰ δὲ π. ἐν Σ. om. B.

Digitized by Google

ARGUMENTUM

IDYLLII XIV.

In hoc Idyllio inducitur Aeschines quidam, qui a puella, quam amabat, relictus, causas dissidii Thyonicho exponit. Paratur hæc narratio ægritudinis, qua ille laborat, significatione — 9, quumque ille causam tristitiæ in universum indicasset, compotationis, unde dissidium cum puella originem ceperat, historiam enarrat — 47. Narratione finita, Aeschines amico consilium aperit, tristitiæ leniendæ causa, trans mare navigandi — 56, quod Thyonichus probans, illi, ut in Ptolemæi copiis stipendium faciat, persuadere conatur. — 59. Sequitur elegans regis prædicatio — 65, unde verisimile fit, hoc Idyllium aut Alexandriæ esse scriptum, aut certe eo consilio esse compositum, ut regis oculis subjiceretur. — Nihil habet hoc carmen ex vita pastoritia s. rustica admixtum, sed totum est mimicum, et quidem factum ad imitationem mimorum Sophronis virilium, de quibus conf. Finkensteinium in Arethusa, T. I, p. 17, et T. II, p. 21 sq.

Digitized by Google

ΚΥΝΙΣΚΑΣ ΕΡΩΣ, Η ΘΥΩΝΙΧΟΣ.

ΕΙΔΥΛΛΙΟΝ ΙΔ'.

ΑΙΣΧΙΝΗΣ ΚΑΙ ΘΥΩΝΙΧΟΣ.

ΑΙΣΧΙΝΗΣ.

Χαίρην πολλὰ τὸν ἄνθρα Θυώνιχον.

ΘΥΩΝΙΧΟΣ.

Ἀλλὰ τὺ αὐτόν,

Αἰσχίνης ἢ Θ. Υ.

V. 1. Χαίρειν F. G. J. L. P. χαίρ' v, w. χαίρεν Kiessl. — τὰ αὐτὰ a, Vat. τὺ αὐτὸ Vat. 5. τὺ αὐτὸς Vat. 6, c, G. τὺ αὐτὰ V. τύ αὐτά L, P. Vat. τοὶ αὐτὰ k, p, w, Colb. Taur. B, D, τοι αὐτᾶ Z. τοι αὐτό K. M. τοι αὐτῶ F. G. N. O. Y. τοιαῦτα J. τὺ αὐτὸν Gaisf. Kiessl. vulgo τοι αὐτῷ.

Τοῦ αὐτοῦ Τρικαινιοῦ. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ὁ, ὧν τελευταῖος· Λευκαίνων ὁ χρόνος· ποιεῖν τι δεῖ οἷς γόνυ χλωρόν. Μ.

1. Σχολια παλαια. Χαιρ. Προλέγει ὁ Αἰσχίνης λέγων, χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον. λείπει δὲ τῷ λόγῳ τὸ γένοιτο, ἢ τὸ λέγω. [Ἀττικῶς δὲ τὸ ῥῆν ᾗ γράφεται, ὡς τὸ οἱ βασιλῆς, καὶ ἱππῆς. Μ.] Τί δέ τοι τὸ μέλημα;] ὁ Θυώνιχος, οἶδα κἀγὼ ὅτι βραδέως ἥκω. τί δέ σοι ἡ φροντίς; ὁ ἐρώμενός φησι· [φησὶν ἡ ἐρωμένη. ἡ φροντὶς οὕτω γὰρ μέμηλε τῆς ἐρωμένης. ἢ αὐτῆς τῆς φροντίδος. ἢ ἄλλως· τί δέ σοι τὸ μέλημα, τίς δέ σοι φροντὶς χάριν τοῦ μὴ ἰδεῖν με. ἄλλως μέλημα ἡ βραδυτὴς ἢ ἡ φροντίς, ἢ ἡ ἐρωμένη· κάλλιον δὲ

Digitized by Google

Αἰσχίνα.

ΑΙΣΧΙΝΗΣ.

Ὡς χρόνιος!

ΘΥΩΝΙΧΟΣ.

Χρόνιος; τί δέ τοι τὸ μέλημα;

ΑΙΣΧΙΝΗΣ.

Πράσσομες οὐχ ὡς λῶστα, Θυώνιχε.

ΘΥΩΝΙΧΟΣ.

Ταῦτ' ἄρα λεπτός,

V. 2. Αἰσχίνα om. L. P. Αἰσχίνη Ott. Αἰσχίνῃ Ald. Call. vett. edd. ante Steph. — τι pro τοι w. σοι pro τοι p. — Sic versum exhibet F: ὡς χρόνιος. ΑΙΣΧ. χρόνιος; ΘΥΩΝ. τί δέ τοι τὸ μ.

φροντίς, ἢν ἢ ἀπὸ τοῦ Θυωνίχου τὸ λεγόμενον, Χρόνιος μὲν ἦλθον ἐγώ, σὺ δὲ περὶ τίνων φροντίζων ἔοικας εἶναι σύννους. Salv.] πράσσομες οὐχ ὡς λῶστα·] ἤγουν, οὐ κατὰ γνώμην. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΙ ΑΥΤΟ, ἤγουν αὐτὸ τὸ χαίρειν ἔςω σοι, s. l. M.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΧΡΟΝΙΟΣ, ἥκεις, s. l. M. ΜΕΛΗΜΑ, τί δέ σοι ἡ φροντίς; ἰδὼν δὲ αὐτὸν κατατηκόμενον τοῦτο λέγει, s. l. M.

3. ΣΧΟΛ. ΠΑΛ. Διὰ τοῦτο λεπτὸς ἐγένου, ὦ Αἰσχίνα, καὶ ὁ μύσταξ οὗτος πολὺς ὢν ἐκ τῶν φροντίδων οὐκ ἔτυχεν ἐπιμελείας. [Ὁ (1) μύσταξ, φησίν, ὁ πρὶν λεπτός, διὰ τὸ συχνάκις κείρεσθαι, νῦν πολὺς διὰ τὸ ἀτημέλητος εἶναι καὶ ἡ κόμη σου αὐχμηρὰ καὶ ἀτημέλητος. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΑΩΙΣΤΑ, οὐ λίαν καλῶς, s. l. M.

---

(1) ἔτι τε ἡ κόμη σοῦ αὐχ. κ. ἀ. ΑΑΛΩΣ. ὁ πρὶν λεπτὸς μύσταξ διὰ τ. σ. κ. μ. π. ἀ. τ. φ. εἶναι καὶ ἄκαρπος. Salv.

Digitized by Google

Χ' ὡ μύσταξ πολὺς οὗτος ἄρ', αὐαλέοι δὲ κικῖνοι.
Τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορίκτας, 5

V. 4. χ' ὡ Ott. M. — μύστιξ M. — ἄρ' sic cum F. N. O. Z, Ald. vett. edd. Reisk. Harles. pro vulgat. ἂν quod a, c, k, l, p, s, v, w, Colb. Taur. Vat. 3, 8, 9, D. J. M. P. Y, Call. Valck. — αὐγαλέοι Ald. Junt. Z. αὖ ἁλέοι p. αὐαλέοι w. ἀναλέοι P. ἀϋςαλέοι Gaisf. Kiessl. — κικίνοι I. L. M. P. Y, p, w. κίκιννοι s, v, Vat. 9, Colb. Taur. D. J. L. P. Y, Valck. Brunck. Gaisf. Kiessl. κικῖνοι F. κικῖνοι K. N. O. Z, Harles. Reisk.

V. 5. πυθαγορίκτας a, c, d, e, g, h, k, l, p, s, v, w, x, Colb. Taur. Vat. 3, 8, 9, 10, Y, Gaisf. Kiessl. πυθαγορικτάς Vat. B. C. D. F. G. J. L. M. O. P. Z, Ald. vett. edd. Reisk. Valck. Harles. πυθαγοριστάς Steph. et nonnullæ edd. male. πυγακορικτάς sic Ott. ap. Warton.

---

4. ΣΧΟΛ. ΠΑΛ. Ἀντὶ τοῦ κομῶντί σοι τὸ γένειον, καὶ οἱ κικῖνοι κατάξηροί εἰσιν, ὡς διὰ τὴν λύπην καὶ τὸ κείρεσθαι παραιτουμένῳ. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΙΚΙΝΟΙ, τῆς σῆς κεφαλῆς αἱ τρίχες, s. l. M.

5. ΣΧΟΛ. ΠΑΛ. Τοιοῦτός τις ἧκεν Ἀθήνηθεν εἰς Σικελίαν πρὸ τούτου ἐπαγγελλόμενος πυθαγορικὸν δόγμα. τινὲς δέ φασι [1] τοῦτο λέγειν [2] εἰς Πλάτωνα τὸν φιλόσοφον, ἀκούσαντες αὐτὸν [3] ἐν Ἰταλίᾳ διαβῆναι εἰς Σικελίαν, [4] συνταξόμενον Διονυσίῳ τῷ τυράννῳ. διαφέρουσι δὲ Πυθαγορικοὶ τῶν Πυθαγοριστῶν, ὅτι οἱ μὲν Πυθαγορικοὶ πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος, οἱ δὲ Πυθαγοριστὰι περιεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται. τινὲς δὲ Πυθαγοριστὰς λέγουσι, τοὺς ἀποδεχομένους τὰ Πυθαγόρου, μὴ ὄντας δὲ τῆς ἐκείνου [5] δόξης· Πυ-

---

(1) τοῦτον Can. — (2) διὰ τὸν Πλ. M. — (3) ἐξ Ἰταλίας M. — (4) Locutionem, συντάσσεσθαί τινι, *confabulari cum aliquo*, illustrat Toupius locis Schol. Apollon. Rhod. III, 482, et Sophocl. Trachin. 536. Conferri potest συμφέρεσθαί τινι, de qua formula vide Schæferum ad Theocriti Epigr. VII, 2. *Kiessl.* συντευξόμενον *Hemsterh.* — (5) διαίτης *Hemsterh.*

Digitized by Google

Ὠχρός, κἀνυπόδατος· Ἀθηναῖος δ' ἔφατ' ἤμες·
Ἥρατο μὰν καὶ τῆνος (ἐμὶν δοκεῖ) ὀπτῶ ἀλεύρω.

ΑΙΣΧΙΝΗΣ.

Παίσδεις ὦ 'γάθ' ἔχων· ἐμὲ δ' ἀ χαρίεσσα Κυνίσκα

V. 6. κανυπόδητος w. κἀνυπόδατος Gaisf. Kiessl. κ'ανυπόδακτος Vat. κἀνυπόδητος Y. — ἤμες sic vulgo cum K. M. O. Z, Reisk. Harles. ἤμεν p, s, w, Vat. 3, 5, 8, 10, Taur. D. P, Valck. Gaisf. Kiessl. εἰμες a.

V. 7. κτῆνος p. — Parenthesin om. p. — ὀπτῶ ἀλευρῶ Vat. ap. Sanctam. ου supra notato. ὀκῶ Y. ὀλεύρω sic Ott. ap. Warton.

V. 8. Παίσδες a. — ὦ 'γαθ' p, Reisk. Harles. ὦ 'γάθ' Ott. Gaisf. Kiessl. — δε χ. w.

θαγορικοὺς δὲ, τοὺς οὕτω φρονοῦντας ὡς ἐκεῖνος, καὶ κατὰ Πυθαγόραν διαιτωμένους. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι, ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε Πυθαγοριστὴν τὸν Πλάτωνα εἰρῆσθαι. τῶν δὲ Πυθαγόρου οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι· οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα· οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ καὶ ἀστρονομικά· οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγενόμενοι τῷ Πυθαγόρᾳ ἐκαλοῦντο Πυθαγορικοί· οἱ δὲ τούτων μαθηταὶ, Πυθαγόρειοι· οἱ δὲ ἄλλως [1] ἔξω ζητηταί, Πυθαγοριστάι. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΩΑΝ, πρὸ τῆς χθὲς ἦλθεν ἐν ἡμῖν, s. l. M.

7. ΣΧΟΛ. ΠΑΛ. Ἐμοί, φησί, δοκεῖ, ὅτι λιμώττων ΗΡΑΤΟ καὶ ἐκεῖνος, ἤγουν ἐπεθύμει, ὀπτοῦ ἀλεύρου. ὅθεν ὠχρός τις ἦν. — ΣΧΟΛ. ΝΕΩΤ. ΟΠΤΩ, ὀπτοῦ ἀλεύρου, ἤγουν ἀδυνάτου πράγματος, s. l. M.

8. ΣΧΟΛ. ΠΑΛ. Ἀττικῶς τὸ ΕΧΩΝ παρέλκει· ἤγουν, σὺ

---

(1) ἔξωθεν ζηλωταὶ Can. Salv. ζηλωταὶ conj. Hemsterhusius. *Gaisf.* lectionem recepit Gaisf. *Gail.*

Digitized by Google

Ὑβρίσθεν· λασῶ δὲ μανεὶς ποκα, θρὶξ ἀνὰ μέσσον.

ΘΥΩΝΙΧΟΣ.

Τοιοῦτος μὲν ἀεὶ τύ, φίλ' Αἰσχίνα, ἄσυχος, ὀξύς, 10

V. 9. λευσῶ G. — δὲ om. p. — ποκα μανεὶς h, F. — μέφον p, G. ἀναμέσον Y, W, K. ἀναμέσσον Y.

V. 10. μὲν p, C. D. — ὦ φίλ' Αἰσχίνα, omisso τύ, δ. — ἄσυχα ὀξύς k, p, w, Colb. B. D. L. Genev. ap. Casaub. Brunck. ἄσυχος et corr. ἄσυχα M.

μὲν παίζεις· ἐμὲ δὲ ἡ χαρίεσσα Κυνίσκα ἐκμαίνει. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΥΝΙΣΚΑ, ἡ γυνή μου, s. l. M.

9. ΣΧΟΛ. ΠΑΛ. [ΛΑΣΩ ΔΕ ΜΑΝΕΙΣ. ἔοικα δὲ λανθάνειν ἐμαυτὸν εἰς μανίαν πεσών· ὀλίγον δὲ τὸ μεταξύ ἐστι, καὶ ἀκαριαῖον τοῦ πάντα μοι κατασχεθῆναι τῷ πάθει. ἢ οὕτω· Salv.] Λανθάνω [1], φησίν, ἐμαυτὸν εἰς μανίαν ἐμπεσών. εἶτα διὰ μέσου τὸ ΘΡΙΞ, ἤγουν, ὀλίγου [2] δέεται τὸ μεταξὺ [3] τοῦ πάντῃ με μανῆναι. — ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΣΩ, λαθεῖν μέλλω, s. l. M. ΜΑΝΕΙΣ, ἐμαυτὸν ἐκμανείς, s. l. M. ΠΟΚΑ, ἄρα, s. l. M. ΘΡΙΞ, ὡς εἰς τρίχα ἦλθον· ἤγουν ὀλίγον ἐστὶ τὸ μέσον τοῦ μανῆναί με, s. l. M.

10. ΣΧΟΛ. ΠΑΛ. ΑΣΥΧΟΣ ΟΞΥΣ. Ἐκ τοῦ παραχρῆμα καὶ τοῦ σιωπῶν ὀξυνόμενος. ἢ ὅτι μανιώδης εἶ ἠρέμα, οἷον ἔχεις τι καὶ ὀξύτητος. οὐ γὰρ πάντῃ σιωπηλὸς ὑπάρχεις. [4 Ἡ ΑΣΥΧΑ ΟΞΥΣ ἀντὶ τοῦ αὐτὸς καθ' ἑαυτὸν ἔσω λυπούμενος, καὶ τηκόμενος ἐν ἡσυχίᾳ, καὶ μὴ ἐν φανερῷ Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΙΟΥΤΟΣ, σὺ ὑπάρχων, s. l. M. ΟΞΥΣ,

---

(1) πῶς pro φησὶν Salv. — (2) δὲ ἐστι pro δέεται Salv. — (3) τοῦ μὴ π. μι μ. Salv. — (4) ἢ ὅς οὐ πάντῃ σιωπηλὸς ὑπάρχεις, ἀλλ' ἔχεις τι καὶ ὀξύτητος ἥσυχα ὀξύς, ἀντὶ τοῦ αὐτός, etc. ut in Salv. MS. ap. Casaubonum. *Gaisf.*

Digitized by Google

Πάντ' ἐθέλων κατὰ καιρόν· ὅμως δ' εἰπόν, τί τὸ καινόν;

ΑΙΣΧΙΝΗΣ.

Ὦ Ἀργεῖος, κἠγών, καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας
Ἄπις, καὶ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας.

V. 11. καιρῶν e. — εἰπόν sic vulgo cum Steph. Brunck. Valck. Harles, Gaisf. Kiessl. εἰπόν p, B. C. F. G. K. N. O. Y, Call. vett. edd. sic D, J et M, in quibus suprascr. εἰπέ. εἰπών L. P. εἴπεν Ald. Junt. εἴπεν Reisk. — καινόν Y.

V. 12. Ὠργεῖος p. ὠργεῖ sic Ott. ap. Warton. — κ' ηγω w. κἠγώ Y. — ὁ om. l, Z, Ald. Junt. Med. — ἱππουδιώκτης w.

V. 13. Ἄπις p. Ἀπις Scheller. Valck. Gaisf. Kiessl. ἄπες L. — Κλεόνικος Vat. C. G. J. Y. Κλάνικος p. Κλεύνιχος h, v, F. — στρατιώτης p, w.

καὶ ὀξύχολος· τοιοῦτοι γὰρ οἱ ἡσυχάζοντες ὀξύχολοι, s. l. M.

11. ΣΧΟΛ. ΠΑΛ. Ἀλλ' ὅμως εἰπέ μοι, τί τὸ νεώτερον, ἢ τὸ πρᾶγμα τὸ λυποῦν σε; — ΣΧΟΛ. ΝΕΩΤ. Ἐθέλων γίνεσθαι θηλονότι, s. l. M. ΚΑΤΑ ΚΑΙΡΟΝ, ἤγουν [ἐγκαίρως, s. l. M.

12. ΣΧΟΛ. ΠΑΛ. Διηγεῖται τὴν τῆς μανίας ὑπόθεσιν. [ΩΡΓΕΙΟΣ. διηγεῖται τὴν τῆς μανίας ὑπόθεσιν· τὸ δὲ Ἀργεῖον τινὲς ὄνομα κύριόν φασι καὶ οὐκ ἐθνικόν· τὸ δὲ Θεσσαλὸς ἀντιφρυς ἐπίθετον· ἐπάγει γὰρ τὸ Ἄπις, ἀντὶ τοῦ ὁ ἐκ Θεσσαλίας Ἄπις, καὶ ὁ στρατιώτης Κλεόνικος εἰστιῶντο τὴν εὐωχίαν σὺν ἐμοὶ ὁμοῦ παρασκευάζοντες. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΚΛΙΝΙΟΥ. Ὦ' ΡΓΕΙΟΣ. Τὸ Ἀργεῖος τινὲς ὄνομα κύριόν φασι καὶ οὐκ ἐθνικόν. M. ΙΠΠΟΔΙΩΚΤ. ὁ τοὺς ἵππους ἐλαύνων ὡς στρατιώτης, s. l. M.

13. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΙΝΟΜΕΝ, εὐωχούμεθα. ἀπὸ μέρους τὸ πᾶν, s. l. M.

Digitized by Google

Ἐν χώρῳ παρ' ἐμίν. δύο μὲν κατέκοψα νεοσσώς,
Θηλάζοντά τε χοῖρον· ἀνῴξα δὲ Βύβλινον αὐτοῖς 15
Εὐώδη, τετόρων ἑτέων σχεδόν, ὡς ἀπὸ λανῶ.

V. 14. χώρω n, p, Vat. χώρᾳ c, h, r, v, w, F. K. L. M. P. — δύω p. — νεοσσούς w.

V. 15. θηλάσδοντά Brunck. Kiessl. — βύβλινον sic vulgo cum F. G. J. K. M. N. O. Z, Ald. Steph. Reisk. Harles. βίβλινον c, p, Colb. Taur. D. L. P, Brunck. Valck. Gaisf. Kiessl. βύβλιον Call. vett. nonnullæ edd.

V. 16. τεττάρων w. τετάρων M. τετόρων K. τεττόρων G. J. L. Y. τετόρρων F. — ἐτῶν p, w. — ληνῶ v. λαγῶ M. λαμῶ K. πηνοῦ w.

---

14. ΣΧΟΛ. ΝΕΩΤ. ΕΝ ΧΩΡΩι, ἤγουν ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ τεμὼν εἰς μέλη παρέθηκα νεοσσοὺς ὄρνεις, s. l. M.

15. ΣΧΟΛ. ΠΑΛ. [ΘΗΛΑΖΟΝΤΑ. οὐ τὸν θηλάζοντα, ἀλλὰ τὸν θηλαζόμενον χοῖρον· ἐνεργητικὸν γὰρ ἀντὶ παθητικοῦ. Salv.] ΒΥΒΛΙΝΟΝ. Οἶνον δηλονότι θρᾳκικόν· ἢ οὕτω καλουμένης τῆς ἀμπέλου ἀπὸ τῆς Θρᾴκης, παλαιὸν μὲν ὄντα καὶ τεσσάρων ἐτῶν· ἀνίσχυρον δὲ πρὸς τὸ μὴ διοχλῆσαι τῷ πίνοντι. σχεδὸν γὰρ τότε ἐδόκει ἀντλεῖσθαι ἀπὸ τῆς ληνοῦ. [ΑΛΛΩΣ. ἀφθόνως ὡς τὸν ἀπὸ ληνοῦ πληθοντος ῥέοντα εἶναι, οὗ διὰ τὸ θολερὸν ἔτι καταφρονοῦμεν. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΘΗΛΑΖΟΝΤΑ, νεογνὸν δελφάκιον, s. l. M. ΑΝΩΙΞΑ, ἀνέῳξα, s. l. M. ΒΥΒΛΙΝΟΝ, οἶνον δηλονότι ἀπὸ Βύβλου νήσου, s. l. M.

16. ΣΧΟΛ. ΝΕΩΤ. ΕΤΕΩΝ, χρόνων, s. l. M. ΣΧΕΔΟΝ, σχεδὸν ὡς ἀπὸ ληνοῦ, ἤγουν ὅμοιον ὄντα νέῳ οἴνῳ διὰ τὸ ἐρυθρόν· τοιοῦτοι γὰρ οἱ νέοι οἶνοι, s. l. M.

Digitized by Google

Βολβός τις κοχλίας ἐξηρέθη· ἧς πότος ἀδύς.
Ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον,

V. 17. τις om. d, e, g, x, N. Z, Ald. Reisk. — κοχίας h, n, p, r, v, Colb. Taur. Ott. Vat. 6, C. F. J. L. N. P. Y. Z, Ald. Call. vett. edd. κοχεία x, Vat. κοχίας et in marg. κοχλίας D. κοχλίας et corr. κοχίας K. κοχλίας w. — ἐξηρέθη n, p, r. βολβοί τε κοχλίαι τ' ἐξήρεθεν Brunck. — ἧς v, w, B. D, Vat. ἣν p, Vat. οὗ Ott. F. N. Z, Ald. — ἀδὺς Ott.

V. 18. ἄκρατος Vat. 6 apud Sanctam. ἐπιχεῖσθ' αὔκρατος sic Vat. ap. Warton.

---

17. ΣΧΟΛ. ΠΑΛ. ΒΟΛΒΟΣ εἶδος βοτάνης, ὁμοίας κρομμύῳ κολχικῷ. [ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Οἱ γράφοντες κοχλίας ἀγνοοῦσι τὰ μέτρα. ἔστι δέ, ὡς φασι, βολβὸς εἶδος βοτάνης κολχικῆς ὁμοίας κρομμύῳ. ἐμοὶ δὲ τὸν οἶνον λέγειν δοκεῖ. εἰσὶ γὰρ καὶ κοχλίαι τοιαύτην οἴνου χροιὰν ἔχοντες, ἤγουν κόκκινον ἢ κερασόχροον, καὶ διὰ τοῦτο νῦν τὸν οἶνον βολβὸν κοχλίαν εἶπεν. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΛΒΟΣ, ἤγουν οἶνος, s. l. M. ΚΟΧΛΙΑΣ, κόκκινος, s. l. M. ΕΞΗΡΕΘΗ, ἐξεβλήθη, s. l. M. ΑΔΥΣ, ἡδύς, ἤγουν ἡδέως ἐπίνομεν, s. l. M.

18. ΣΧΟΛ. ΠΑΛ. ΗΔΗ. Ἤγουν, ἤδη δὲ προκόπτοντος τοῦ ποτοῦ ἔδοξεν ἡμῖν ΕΠΙΧΕΙΣΘΑΙ ἄκρατον· ἤτοι, λαμβάνειν καὶ ἐπισπένδειν. οὕτω γὰρ εἰώθασι ποιεῖν ἐν τοῖς συμποσίοις, ἄκρατον λαμβάνειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους, καὶ [1] ἐπιχεῖν τῇ γῇ, καὶ φθέγγεσθαι τῶν [2] φιλτάτων τὰ ὀνόματα. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΟΙΟΝΤΟΣ, εἰς τέλος τοῦ πότου ἐρχομένου, s. l. M. ΕΠΙΧΕΙΣΘΑΙ, ἤγουν φιλοτησίαν ποιήσασθαι ἣν κοινῶς φασὶ σδράβιτον, s. l. M.

---

(1) ἀποχεῖν τῇ γῇ ἐκ τοῦ οἴνου κ. φ. τὸ τοῦ φιλουμένου ὄνομα, οὗ χάριν ὁ οἶνος ἔχειτο. M. ἐναποχεῖν Salv. ἐχεῖτο Salv. — (2) In cod. Laur. 46, est φιλαυτων· unde Wartonus φίλων αὐτῶν reponit. *Kiessl.*

Digitized by Google

Ὥτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὥτινος εἰπεῖν.
Ἄμμες μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο· 20
Ἁ δ' οὐδέν, παρεόντος ἐμεῦ· τίν' ἔχεν με δοκεῖς νοῦν;
Οὐ φθεγξῇ; Λύκον εἶδες, ἔπαιξέ τις, ὡς σοφὸς εἶπεν.

V. 19. ὥτινος Ott. ὦ τῆνος ἐλθῇ w. — ὥτινος ἐπεῖν v. ὥτινος ἐπ" w. εἰπεῖν sic vulgo cum Y, Reisk. Harles. εἰπῆν Brunck. Valck. Gaisf. Kiessl.

V. 20. ἄμμιν Vat. 9, J. Y. ἄμες p. — δὲ pro μὲν v, L. P. — ἐδόκει Vat. 9.

V. 21. ἁ Ott. — οὐδὲ L. — ἔχειν p, Ott. B. C. D. G. J. N. Y. Z, Ald. Call. vett. edd. — με δοκεῖς sic vulgo cum B. C. D. G. J. N. Y. Z, Reisk. Harles. μ' ἐδόκεις h, v, Vat. Valck. Gaisf. Kiessl. — νῶν a, p, K. M., Brunck. νοῦν; et suprascr. νῶν, D.

V. 22. φθεγξῇ v, w. — εἶπες p. εἶπον a, C. G. J. Y. — Interpunctio nulla in Vat. 3 post φθεγξῇ; Comma solum in Vat. 4; commata post φθεγξῇ et εἶδες, punctum verò post τις in Vat. 5. interrogatio ponitur, alia post φθεγξῇ, alia post εἶδες in Vat. 6. verba ἔπαιξέ τις parenthesesve signis includuntur Reisk. Harles. Kiessl.

---

19. ΣΧΟΛ. ΠΑΛ. Ἔδει δέ, φησί, μόνον εἰπεῖν, οὗ χάριν ὁ οἶνος ἐχεῖτο. — ΣΧΟΛ. ΝΕΩΤ. Ὦ ΤΙΝΟΣ, οὗ ἕνεκα ἦρα εἰπεῖν, s. l. M.

20. ΣΧΟΛ. ΠΑΛ. Ἡμεῖς μὲν ὀνομάζοντες ἕκαστον ἐπίνομεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΜΕΣ, ἡμεῖς μὲν φωνοῦντες ἀλλήλοις χαίρειν, οὕτω γὰρ εἰώθασι ποιεῖν, s. l. M. ΕΔΕΔΟΚΤΟ, ὡς ἐδόκει ἡμῖν, s. l. M.

21. ΣΧΟΛ. ΠΑΛ. Αὕτη δὲ, ἡ Κυνίσκα δηλονότι, οὐκ ἔπιε παρόντος ἐμοῦ, οὐδὲ ἀποκρίσεώς με ἠξίωσεν ἐν τῷ ἐπιχεῖσθαι αὐτῇ κυάθους. τίνα οὖν με ἔχειν δοκεῖς διάθεσιν τοιαῦτα πάσχοντα; — ΣΧΟΛ. ΝΕΩΤ. Ἁ Δ' ΟΥΔΕΝ, ἡ Κυνίσκα οὐκ ἐφώνει καθὼς ἠρεῖς, s. l. M.

22. ΣΧΟΛ. ΠΑΛ. ΛΥΚΟΝ ΕΙΔΕΣ. Τοῦτο ἀμφιβόλως εἴρηται· ἢ ὅτι Λύκου ἐρᾷ ἡ Κυνίσκα· ἢ ὅτι καθὸ οἱ ἀρθέντες

Digitized by Google

Χ' ἥφθα· εὐμαρέως κεν ὀπ' αὐτᾶς καὶ λύχνον ἄψας.

V. 23. κἤφατ' a, e, l, p, s, v, w, Vat. 3, 5, 6, 8, 9, 10, G. J. K. L. M. Y. κἤφατ' ἢ' k, Colb. Taur. B. D, Call. Jun. Ferr. κἤφατο c, d. κἤφα g, h, x, Ott. C. F. N. Med. κἤφα Z, Ald. Reisk. χ' ἥφθα Wintert. cum Steph. qui κἤφθα. χ' ἥφθα Valck. Harles. quos secuti sumus. χἤφθα Gaisf. χ' ἄφθη Brunck. Kiessl. — καὶ pro κεν L. — ἐπ' αὐτᾶς G. — ἄψας e, d, e, l, p, w, x, Taur. Vat. 3, G. L. αἴψας g, Ott. Z. M, Ald.

ἄφωνα ὑπὸ λύκου δακοῦσιν ἄφωνοι γίνεσθαι. οὗτος δὲ ἐναντίως εἶπεν· οὐχί, μήποτε ὑπὸ λύκου ὤφθης, ἀλλὰ, μήτι λύκον εἶδες. ΕΠΑΙΞΕ ΤΙΣ. Ἡ Κυνίσκα φησὶ πρὸς τὸν εἰς αὐτὴν παίξαντα, ὡς σοφός τις, καὶ ἅμα ταῦτα εἰποῦσα, καὶ μιμησθεῖσα τοῦ Λύκου, οὕτως ἐφλέγετο ὡς καὶ λύχνον εὐκόλως ἀπ' αὐτῆς ἅψαι. [ΟΥ ΦΘΕΓΞΗ; οὐ λαλήσεις. λύκον εἶδες, ΩΣ ΣΟΦΟΣ ΕΙΠΕΝ, ἤγουν ὡς ὁ παροιμιαστὴς ἐφθέγξατο Salv. ΤΡΙΚΑΙΝΙΟΥ. ΕΠΑΙΞΕ ΤΙΣ. εὕρηται καὶ ἔπαιξέ τις, καὶ εἰ παλὸν σκοπεῖν δεῖ· οὕτω γὰρ τοῦτο λέγουσιν ὅτι, σιωπώσης τῆς Κυνίσκας, ἔπαιξέ τις εἰς αὐτὴν εἰπών, οὐ φθεγξῇ; ἤγουν οὐ λαλήσεις; λύκον εἶδες, ὡς Σοφὸς εἶπεν, ἤγουν ὡς ὁ Παροιμιαστὴς ἐφθέγξατο. καὶ ἔφη οὕτω τοῦ λύκου θηλέου ὅτι ἐρᾷ, ὥστε καὶ, φλεγμαίνης τῷ ἔρωτι, εὐκόλως ἂν ἀπ' αὐτῆς καὶ λύχνον ἅψαις. Παροιμία δὲ ἐστι τὸ ΛΥΚΟΝ ΕΙΔΕΣ, ὅτι οἱ λύκον ἰδόντες δακοῦσιν ἄφωνοι γίνεσθαι. ἐμοὶ δὲ τὸ ἐπαίξέ τις κρεῖττον εἶναι δοκεῖ, οὕτως ἐπαίξεν, ἤγουν ὥρμησε καὶ ἦλθέ τις, καὶ ἔφη, εὐκόλως ἂν ἀπ' αὐτῆς καὶ λύχνον ἅψαις, ἤγουν οὐδὲ φῶς ἀπ' αὐτῆς εἰς λύχνον λάβοις τὸ φαυλότατον, ὃς αὐτὴν βούλεται λαβεῖν. τὸ δὲ ὡς σοφὸς εἶπεν, διὰ μέσου εἴρηται, ἤγουν ὡς φρόνιμος τοῦτο ἔφη. ἔστι γάρ, ἔφη, Λύκας τις υἱὸς τοῦ Λάβα, ὃς ἔστιν αὐτῆς ἐραστής. τὸ δὲ οὐ φθεγξῇ λύκον εἶδες, πρὸς τὸ τίνα νοῦν ἔχειν με ἐδόκεις ἀποδίδοται. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΟΥ ΦΘΕΓΞΗ, τί περὶ τούτου, s. l. M. ΛΥΚΟΝ ΕΙΔΕΣ, διὰ τοῦτο οὐ φθέγγῃ, s. l. M. ΕΠΑΙΞΕ, συνίζησις. ὥρμησεν, ἦλθε καὶ ἔφη, s. l. M.

23. ΣΧΟΛ. ΝΕΩΤ. Ἀπ' ΑΥΓΑΣ ΚΑΙ ΛΥΧΝΟΝ, κατ' εἴρω-

Ἐντὶ Λύκος, Λύκος ἐντί, Λάβα τῶ γείτονος υἱός,
Εὐμάκης, χ' ἁπαλός, πολλοῖς δοκέων καλὸς ἥμες· 25
Τοῦτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα·
Χ' ἁμῖν τοῦτο δι' ὠτὸς ἔγεντό ποθ' ἥσυχα οὕτως·
Οὐ μὰν ἐξήταξα, μάταν εἰς ἄνδρα γενειῶν.

V. 24. ἔστι J. Y. — τοῦ λάβατος Vat. 3, ἀβατῶ J. Λάβω N.

V. 25. χ' ἁπ. sic vulgo cum F. N. Z, Reisk. Harles. χ' om. c, k, p, s, v, w, Colb. Taur. D. J. L. M. P. Y, Scheller. Call. Junt. Valck. Gaisf. Kiessl. — ἄσαλος B. — ἥμες sic vulgo cum w, K. Z, Reisk. Harles. ἥμεν p, Vat. 3, 8, 9, Gaisf. Valck. Kiessl. ἥμες, ν sup. ς, M.

V. 26. τούτῳ Reisk. — κεῖνον Vat. 3.

V. 27. χ' ἁμῖν, v, w. — ποθ' ἥσυχα sic vulgo cum v, F. N. Z, Reisk. Harles. ποθ' ἀσύχα B. L. ποθ' ἄσυχα W. ποχ' ἄσυχον Valck. Brunck. Gaisf. Kiessl. ποχ' s, Vat. 9, Y. ἄσυχα k. πόχ' ἄσυκα K. ποθ' ἀσύχα et corr. ποχ' ἄσυχον D. ἡσύχως p. ἀσύχως C. ἄσυχον vel ἥσυχὸν s, Vat. 6, 8, 9, J. Y. ἥσυχ' Vat. ap. Warton. — οὕτῶς B. D. L, Brunck. Gaisf. Kiessl.

V. 28. ἐξήταξε, α recentiori manu supra ξε scripto, v.

νείαν· ἤγουν οὐδὲ φῶς ἀπ' αὐτῆς λάβῃς εἰς λύχνον τὸ φαυλότατον, ὃς αὐτὴν βούλεται λαβεῖν, s. l. M.

24. ΣΧΟΛ. ΝΕΩΤ. ΕΝΤΙ ΛΥΚΟΣ, ἐστὶν ὁ ταύτης ἐρώμενος, s. l. M.

25. ΣΧΟΛ. ΝΕΩΤ. ΕΥΜΑΚΗΣ, εὐμήκης, μακρός, s. l. M. ΑΠΑΛΟΣ, μαλακὸς ὡς γυναικώδης, s. l. M. ΚΑΛΟΣ, εὐειδὴς εἶναι, s. l. M.

26. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΥΤΩ, ἤγουν τούτου, s. l. M. ΤΟΝ ΚΛΥΜΕΝΟΝ, τὸν ἔνδοξον, ἐξάκουστον, s. l. F. M. ΚΑΤΕΤΑΚΕΤ. ἐδαμάζετο ἡ Κυνίσκα, s. l. M.

27. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΙΝ, ἡμῖν, s. l. M. ΔΙ' ΩΤΟΣ, ἤγουν ἀκουστὸν ἐγένετο, s. l. M. ΟΥΤΩΣ, οὕτως, s. l. M.

28. ΣΧΟΛ. ΠΑΛ. ΜΑΤΑΝ. Τουτέστι, ματαιοπώγων ὑπάρχων, οἷον, μάτην ἀνδρὸς πώγωνα ἔχων, διὰ τὸ μὴ χρῆσθαι

Digitized by Google

Ἤδη δ' οὖν πόσιός τοι τέτταρες ἐν βάθει ἦμες,
Χ'ὠ Λαρίσσαῖος τὸν ἐμὸν Λύκον ἆδεν ἀπ' ἀρχῆς, 30
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
Ἔκλαεν ἐξαπίνας θαλερώτερον ἢ περὶ ματρὶ

V. 29. δ' om. F. — οὖν sic vulgo cum B. G. F. M. Y. Z, Reisk. Harles. ὧν Brunck. Valck. Gaisf. Kiessl. — ποσιός Ott. — τὶς pro τοι Vat. 10. τι Z. τοὶ w, Scheller. Schæfer. Gaisf. Kiessl. — τέσσαρες w, K. M. τέταρες v. — ἦμεν L.

V. 30. χ' ὠ Ott. — Λύκον om. p. — ἀπ' ἀρχῆς v, Z. ἀπ' ἀρχᾶς a, k, p, w, Colb. Vat. 10, D, Brunck. Valck. Gaisf. Kiessl. ἐπ' ἀρχᾶς J. ἀρχᾶς, η sup. ας, M.

V. 31. θετταλικὸν G. — μέλισμα v, w. — δὲ φρένες L.

V. 32. ἐκλα' ἐξ. w. — θαλώτερον K. M. — περὶ ματρὶ sic vulgo cum F. N. Z, Reisk. Harles. παρὰ μ. a, k, p, s, v, w, Colb. Taur. Scheller. Vat. 5, 6, 8, 9, L. M. P, Brunck. Valck. Gaisf. Kiessl. μητρὶ w. — Versum om. c.

τῇ ἀνδρὸς [1] ῥώμῃ. [ΤΡΙΚΑΙΝΙΟΥ. ἐπεί, φησί, τοιαῦτα πάσχων οὐκ ἠρεύνων οὐδὲ ἐφρόντιζον, μάτην ἀνέφυσα γένεια, καὶ εἰς ἀνδρῶν ἡλικίαν ἀφικόμην. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΞΗΤΑΞΑ, ἐξήτασα, ἠρεύνησα περὶ τούτου, s. l. M. ΜΑΤΑΝ, ἤγουν μάτην γένεια ποιῶν καὶ εἰς ἄνδρας ἤδη τελῶν, s. l. M.

29. ΣΧΟΛ. ΝΕΩΤ. ΕΝ ΒΑΘΕΙ, ἤγουν ἐν πλείστῳ μέρει τῆς πόσεως, s. l. M.

30. ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΡΙΣΣ. ὁ Θεσσαλός, ἐκεῖ γὰρ ἡ Λάρισσα πόλις, s. l. M.

31. ΣΧΟΛ. ΠΑΛ. [ΘΕΣΣΑΛΙΚΟΝ. οἷον αἰόλον τινὰ ᾠδὴν ᾖδεν, ὧν κακόφρων, ὅτι ἐμνήσθη αὐτῆς. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΘΕΣΣΑΛΙΚΟΝ, ὃ Θετταλοὶ ᾄδουσιν, s. l. M. ΜΕΛΙΣΜΑ, ᾠδήν τινα, s. l. M. ΚΑΚΑΙ ΦΡΕΝΕΣ, ἤγουν κακόφρων ἦν ὅτι τούτου ἐμνήσθη, s. l. M.

32. ΣΧΟΛ. ΝΕΩΤ. ΕΞΑΠΙΝ. εὐθέως, s. l. M. ΘΑΛΕ-

---

(1) Cod. Laur. 46, ἐρωμένη. *Kiessl.*

Digitized by Google

Παρθένος ἐξαέτις κόλπω ἐπιθυμήσασα.
Τᾶμος ἐγώ, τὸν ἴσης τύ, Θυώνιχε, πῦξ ἐπὶ κόρρας
Ἤλασα, κἄλλαν αὖθις ἀνειρύσασα δὲ πέπλως, 35

V. 33. ἐξαέτης k, w, Colb. Taur. B. D. L. P. — κόλπων p, s, Vat. 6, C. G. J. Y. κόλπου Vat. — ἐπιθυμήσασθαι Y. ἐπιθυμήνασα Junt. et margo Steph.

V. 34. τᾶμος p, w, P. — ἐγώ Y, Schol. — ἴσας a, c, k, p, v, w, Colb. Taur. Vat. 10, B. D. Ἰσας Vat. 3, 5, 6, 9, G. J. Y. ἴσως L. P. — κόρρης Y. κόρας K.

V. 35. ἤλασα w. — κἄλλαθθις p. — ἀνειρύσα δ' αὖτῆς π. c, l, x, Ott. Ald. Med. Reisk. item F, in quo corr. in marg. ἀνειρύσασα δὲ π. hoc vulgatum, quod habent Scheller. et Tobt. a Call. et Steph. in recentiores venit edd. ἀνείρυσα Vat. P. ἀνείρυσα δ' αὐτὼς π. Z. ἀνείρουσα δὲ π. w. ἀνειρύσασαν γ. ἀναρύξασα δὲ π. K. ἀναρύσασα M. — πέπλους p.

ΡΩΤΕΡ. σύγκρονον ἢ τρυφερώτερον· ὡς καὶ τὸ τέρεν δάκρυ παρ' Ὁμήρῳ, s. l. M.

33. ΣΧΟΛ. ΝΕΩΤ. ἘΞΑΕΤΙΣ, ἐξ ἐτῶν, s. l. M.

34. ΣΧΟΛ. ΠΑΛ. ΤΑΜΟΣ. Τότε ἐγὼ ἰδὼν αὐτὴν κλαίουσαν, οἶδα με εὖ, Θυώνιχε, γινώσκεις ὀργίλον, [1] πυγμῇ τὴν σιαγόνα [2] αὐτῇ ἔπαισα. ΚΟΡΡΗΝ γὰρ τὴν γνάθον καὶ σιαγόνα οἱ [3] Ἀττικοί. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΝ ΙΣΗΣ ΤΥ, ὅστις ἐμὲ γινώσκεις οἷός εἰμι, δηλονότι ὀργίλος, s. l. M.

35. ΣΧΟΛ. ΠΑΛ. [ΑΝΕΙΡΥΣΑ ΔΕ ΠΕΠΛΟΝ. ἀντὶ τοῦ ἀνέστειλα καὶ ἐγύμνωσα, καὶ οὕτω δείρας ἐξέβαλον. ἢ ὅτι ἡ Κυνίσκα, φησί, πληγεῖσα καὶ τοὺς πέπλους ἀνελκύσασα ὠκέως διὰ τῶν θυρῶν ἀνέδραμεν. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΗΛΑΣΑ, ἔτυψα, συνέτριψα, s. l. M. ΑΥΘΙΣ, ἔτυψα, s. l. M. ΑΝΑΡΥΣΑΣΑ, ἀνήλκυσα, s. l. M.

---

(1) πυγμαῖς M, Salv. — (2) αὐτῆς M, Salv. — (3) ἰατρικοὶ Cod. Laur. 46. *Kiessl.*

Digitized by Google

Ἔξω ἀπῴχετο θᾶσσον. Ἐμὸν κακόν, οὔ τοι ἀρέσκω;
Ἄλλος τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἐοῖσα
Θάλπε φίλον· τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι.
Μάστακα δ' αἷα τέκνοισιν ὑπωροφίοισι χελιδὼν

V. 36. ἀποίχετο p, Colb. Taur. D. ἀποίχεο Reisk. — οὔ τι a, c, h, l, Vat. 10, F. Z, Ald. vett. edd. — ἀρέσσω L. P.

V. 37. ἄλλος τὶς Vat. 3, 10. ἄλλος τοι Ott. ἄλλος τι v, w. ἀλλ' ὅτι P. ἄλλος τὶν Brunck.

V. 38. σὰ σὰ om. B. σὰ om. k, Colb. Taur. et D, in quo suprascriptum est. — μαλα sine accentu, sed Glossa habet μᾶλα, ἐρωτις, Vat. ap. Sanctam. μάλα Reisk.

V. 39. ὑποροφίοισιν ἀηδὼν p. ὑπὸ ῥοφίοισι G. ὑπωροφίοιο B et D, in quo suprascr. ὑπωροφίοισι. — Super χελιδὼν exaratur, eadem manu, γρ. ἀηδὼν in Vat. 3. ἀηδὼν C.

---

36. Σχολ. νεωτ. Ἀπῴχετο, ἐξῆλθεν, s. l. M. Θᾶσσον, ἤγουν ταχέως, s. l. M. Ἐμὸν, τὸ ἐμὸν κακὸν λέγων σοι, s. l. M. Ἀρέσκω, ἐγώ, τοῦτο πρὸς τὸ ἤλιστα, s. l. M.

37. Σχολ. νεωτ. Ἄλλος τοι, ἔστι σοι, s. l. M. Ὑποκόλπιος, ὑποκάρδιος, ἐκ καρδίας φιλούμενος, s. l. M. Ἰοῦσα, ἰοῦσα, ἐλθοῦσα, s. l. M.

38. Σχολ. παλ. Τήνῳ. Ἐκείνῳ, φησί, τῷ Αὔκῳ τὰ ῥέοντά σου δάκρυα μῆλα [1] πίπτει· τουτέστιν, ἔρως καὶ ἐπιθυμία. μήλοις γὰρ [2] εἰκαστέον τοὺς ἔρωτας διὰ τὸ περὶ αὐτοὺς κάλλος. — Σχολ. νεωτ. Θάλπε, εὔφραινε, s. l. M. Τήνῳ, τῷ ἀνθρώπῳ, s. l. M. Μᾶλα ῥέοντι, ἤγουν ἡδύτητα (sic) ῥέουσι, s. l. M.

39. Σχολ. παλ. Οὐχ οὕτω τις χελιδὼν τροφὴν δοῦσα τοῖς νεοσσοῖς ταχέως πάλιν ὑπέστρεφεν ἐπὶ τῷ ἕτερα κομίσαι, ὡς ἐκείνη λιποῦσα τὸν ΔΙΦΡΟΝ, ἤγουν, τὴν καθέδραν, ᾤχετο. Μαλακας δὲ, παρόσον αἱ γυναῖκες μαλακαῖς κάθηνται καθέ-

---

(1) πίπτειν Call. — (2) εἴκαζον..... διὰ τὴν καλλονήν Salv.

Ἄψορρον ταχινὰ πέτεται, βίον ἄλλον ἀγείρειν· 40
Ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
Ἰθὺ δι' ἀμφιθύρου καὶ δικλίδος, ἃ πόδες ἄγον·
Αἶνος θὴν λέγεταί τις, ἕβα καὶ ταῦρος ἀν' ὕλαν.

V. 40. ταχυνὰ G. — πέτεται K. — ὅλον pro ἄλλον w. — ἀγείρειν sic vulgo cum B. F. Z, Reisk. Harles. ἀγείρειν Tolet. Valck. Gaisf. Kiessl. ἀγείρας Y. ἀγείρην Brunck.

V. 41. ὠκύτερον, α sup. ο, p. — δίφρου ῥάκος Y.

V. 42. ἀμφιθύρου sic vulgo cum O. Y. Z, Reisk. Harles. ἀμφιθύρω Wintert. Valck. Gaisf. Kiessl. ἀμφιθύρων J. δ' ἀμφιθύρου, et in marg. δι' ἀμφιθύρου, D. διαμφιθύρου L. — ἃ Ott. — ἦγον Y.

V. 43. ἕβα καὶ ταῦρος k, s, Y. ἔβακε a, w, Vat. 8, L. P. ἔβακεν Vat. 9, C. J. ἔμβακε G. κεντᾶυρος p, v, Colb. Taur. κέντα υρος B. D.

θραις, ὡς [1] ἐν Συρακουσίαις. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΣΤΑΚΑ, οἱονεὶ μεμαλαγμένον καὶ ἕτοιμον, s. l. M. ΟΙΑ, ὥςπερ, s. l. M. ΥΠΩΡΟΦΙΟΙΣΙ, ὑποκάτω ὀρόφου καθημένοις, s. l. M.

40. ΣΧΟΛ. ΝΕΩΤ. ΒΙΟΝ, βρῶμα, ζωήν, s. l. M.

41. ΣΧΟΛ. ΝΕΩΤ. ΔΙΦΡΑΚΟΣ, κλίνης, θρόνου, s. l. M. ΤΗΝΑ, τήνη ἡ Κυνίσκα, s. l. M.

42. ΣΧΟΛ. ΠΑΛ. ΙΘΥ. Ἤγουν εὐθύ. ἀντικρὺ τοῦ οἴκου τοῦ διθύρου. ΑΜΦΙΘΥΡΟΝ γὰρ καὶ [2] δίπτυχον, ταὐτό ἐστι. δηλοῖ δὲ τὸ δίθυρον. Αἱ ΠΟΔΕΣ. ὅπου οἱ πόδες ἦγον. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΦΙΘΥΡΟΥ, ἤγουν διὰ τοῦ διθύρου· ἀμφότερα γὰρ τὸ αὐτὸ δηλοῖ, s. l. M. ΑΓΟΝ, ἔφερον αὐτήν, s. l. M.

43. ΣΧΟΛ. ΠΑΛ. ΕΒΑ. Παροιμία ἐστὶν ἐπὶ τῶν μὴ ἀναστρεφόντων, διὰ τὸ τοὺς ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι. [ὅτι ὥςπερ ὁ ταῦρος ὕλης ἁψάμενος οὐκ ἐπιστρέφεται τῶν οἴκοι, οὕτω κἀκείνη ἐκδραμοῦσα οὐχ ὑπέ-

---

(1) Antea Συρακούσαις. Mutavit Toupius in Epist. de Syracusiis, p. 328. *Kiessl.* — (2) δικλίς Salv.

Digitized by Google

Εἴκατι ταίδ', ὀκτὼ ταίδ', ἐννέα ταίδε, δέκ' ἄλλαι,
Σάμερον ἐνδέκατος, ποτίθει δύο· καὶ δύο μᾶνες, 45
Ἐξ ὧ ἀπ' ἀλλάλων, οὐδὲ Θρᾳκιστὶ κέκαρμαι.

V. 44. εἴκοτι Vat. 3. — ἐννέα ταί pro ταίδε p, F. — Sic interpungitur versus in Vat. ap. Sanctam. εἴκοτι, ταίδ' ὀκτώ, ταίδ' ἐννέα, ταίδε δέκ' ἄλλαι.

V. 45. ἐνδέκατος sic vulgo cum Ald. Steph. Reisk. Harles. Valck. ἐνδεκάτα a, c, h, k, l, p, s, v, w, Colb. Taur. Scheller. Vat. 3, 5, 6, 8, 9, F. J. L. M. P. Y, et F, in quo corr. ἐνδίκατος; item Brunck. Gaisf. Kiessl. ἐνδεκάτος vett. nonnullæ edd. ap. Reisk. ἐνδέκατα B. D. G. ἐνδεκάτη Call. — ποτίθει sic vulgo cum B. D, Reisk. Valck. Harles. ποτίθες Vat. 8, 9, G. J. Y, Gaisf. Kiessl. ποτίθι Vat. 5. — δυοκαίδεκα B. D. δύο καὶ δέκα w. — μᾶνες w, G. μᾶγας v, et F, in quo corr. μᾶνες.

V. 46. ἐξ οὗ ἀπ' ἀλλήλων p, w. ἐξῶ Ott. — οὐδ' εἰ Θρακιστὶ k, p, Colb. Taur. B. D. L. P, Junt. οὐδὲ Θρακιστὶ vulgo, Reisk. Harles. Kiessl. quos secuti sumus. Θρακιστὶ Valck. Gaisf. ἐ' οὐ δὴ Θρακιστικὶ Brunck.

στρεψεν. M, Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΝΟΣ, μῦθος, s. l. M. ΘΗΝ, δή, s. l. M.

44. ΣΧΟΛ. ΠΑΛ. ΤΑΙ. Ψηφίζει τὰς ἡμέρας, ἀφ' οὗ ἀπ' ἀλλήλων κεχωρισμένοι εἰσὶ καὶ ἀφ' οὗ οὐκ ἐκάρη κατὰ Κᾶρας τὰς τρίχας. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΚΑΤΙ, εἴκοσι, s. l. M. ΟΚΤΩ ΤΑΙΔ', εἰσὶ πᾶσαι ἡμέραι ὁμοῦ.

45. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΙΘΕΙ, προστίθει, s. l. M. ΔΥΟ ΚΑΙ ΔΥΟ, ἐν ἄλλῳ δυοκαίδεκα, s. l. M.

46. ΣΧΟΛ. ΠΑΛ. [Θρᾳκιστὶ, διὰ τὸ ἀπηντημέναι (sic) μοι οἱονεὶ οὐ μεταμεμόρφωμαι, οὐδὲ Θρᾳκιστί, ἀντὶ τοῦ [1] οὐδὲ Ἰλλυριστί. ΚΕΚΑΡΜΑΙ· ἐκείροντο γὰρ οἱ Θρᾷκες, διὰ τὸ μὴ ἐν πολέμοις διὰ τούτων [2] ἁλᾶσθαι ἢ κενὸν ἔχειν βάρος αὐτούς. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΞ ὧ, ἀφ' οὗ, s. l. M. ΑΠ' ΑΛΛΑ-

---

(1) Glossa Vat. 5. Γράφεται, οὐδ' εἰ Βουλγαριστὶ, ἢ ἰλλυριστί, οἶδα. *Kiessl.* — (2) Warton. suspicatur ἁλῶναι. *Kiessl.*

Digitized by Google

Οἱ δὲ Λύκος νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῴκται·
Ἄμμες δ' οὔτε λόγῳ τινὸς ἄξιοι, οὔτ' ἀριθμητοί,

V. 47. ἁ δὲ vulgo F. G. K. N. O. Z, Reisk. Harles. οἷδε Λύκος k, Colb. Taur. B. D, Junt. αἱ δὲ Λύκος sic cum Br. Valck. Gaisf. Kiessl. τᾶ δὲ λ. s, Vat. 9, J. Y. ἡ δὲ Δίκου. p, G. ἁ δὲ Λύκω w, L. M. P. λύκῳ sic vulgo cum Reisk. Harles. — νυν pro νῦν.

V. 48. τινὲς v. — ἀριθμητοὶ sic vulgo cum Z, Reisk. Harles. ἀριθματοὶ a, k, p, v, w, Vat. 10, D. P, Brunck. Valck. Gaisf. Kiessl.

ΔΙΥΝ, ἀπ' ἀλλήλων ἐγεγόνειμεν, s. l. M. ΟΥΔΕ, τῇ λύπῃ, s. l. M. ΘΡΔΙΚΙΣΤΙ. Κατὰ τὸν νόμον τῶν Θρᾳκῶν. J. ἐκείραντο γὰρ Θρᾶκες ὡς πολεμικοί, ἵνα μὴ βάρος αὐτοῖς εἶεν αἱ τρίχες, s. l. M.

47. ΣΧΟΛ. ΠΑΛ. [Ἀριθμεῖ τὰς ἡμέρας ὁ Αἰσχίνης καὶ γίνονται νή. σήμερον γάρ, φησί, ἔστιν ἑνδεκάτη τοῦ ἐνιστα-μένου μηνός, καὶ προστίθει καὶ ταύτην· προσληπτέον οὖν ταῖς προτέραις τὰς ια', καὶ ἔσονται ἡμέραι νή. ἐν αἷς οὗτος τὴν ποσότητα τῶν ἡμερῶν τῶν δύο μηνῶν ἀριθμεῖ οὐκ ἀκριβολογούμενος. M.] ΑΔΕ. Αὐτὴ δὲ κατὰ τὰ πάντα τῷ Λύκῳ ἐστὶν· ὥστε καὶ νυκτὸς αὐτῷ τὴν θύραν ἀνεῴχθαι — ΣΧΟΛ. ΝΕΩΤ. Α ΔΕ, ἡ Κυνίσκα, s. l. M. ΝΥΚΤΟΣ ΑΝΩΙΚΤΑΙ, καὶ ἐν νυκτὶ μνησθεῖσαν ἐκείνου ἀνίσταται· καὶ ὥσπερ μαινομένη ἀπαντᾷ. εἰκάζων δὲ τοῦτο λέγει· πῶς γὰρ οἶδεν ἄν, ἐπεὶ ἀπέστη αὐτοῦ; s. l. M.

48. ΣΧΟΛ. ΠΑΛ. Ἡμεῖς δὲ παρ' αὐτῇ οὐδ' ἐν ἀριθμῷ ἐσμέν ὥσπερ οὐδὲ οἱ Μεγαρεῖς ὑπὸ τῶν Πυθίας [1] ἐλέχθησαν εἶναί τινος ἄξιοι λόγου. ἱστορεῖ γὰρ Δεινίας, ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτέ, ὅτι κράτιστοι τῶν Ἑλλήνων εἰσίν, ἐπύθοντο τοῦ θεοῦ, τίνες [2] κρείττονες τυγχάνοιεν. ὁ δὲ ἔφη·

---

(1) ἐλέγχθησαν Salv. — (2) ἄριστοι εἶεν M. ἄριστοι Can. Salv.

Digitized by Google

Δύστανοι Μεγαρῆες, ἀτιμοτάτη ἐνὶ μοίρᾳ.
Κ' εἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι. 50
Νῦν δέ ποθ', ὡς μῦς, φαντί, Θυώνιχε, γεύμεθα πίσσας.

V. 49. ἀτιμοτάτοι P. Y. — ἀτιμοτάτᾳ Kiessl. — μοίρῃ P. Y, Call. Brunck. Kiessl. μόρῃ, et corr. μοίρῃ, D. μοίρῃ p, v, w.

V. 50. κ' ει v, w. καὶ Ald. Steph. vett. edd. Reisk. κὴ Call. καὶ Brunck. cum Temp. κ' αἰ Kiessl. — ἀποστέρξαι με Z, Ald. Reisk. — ἐν pro κεν L. P. κὲν Ott. — ἐς δέον B. D, Kiessl. — ἕρπει w, L. P. εἴποι Colb. Taur. B et D, qui in marg. ἕρποι, ἥκοι p.

V. 51. πόθεν μῦς h, B. D. L. P, Colb. Taur. πόθεν ὡς p. δὲ ποθ' ὡς μῦς I. M. O. δὲ ποθ' ὁ μῦς K. ποθῶ. μῦς Reisk. Brunck. δὲ ποχ', ὡς μῦς Kiessl. Wintert. — γεγεύμεθα L. P. θυώνιχ' ἐγεύμεθα Kiessl. γεύετο Reisk. Brunck. — πίσσης J. M. O. Y.

Γαίης μὲν πάσης τὸ πελασγικὸν Ἄργος ἄμεινον,
Ἵπποι θρεπτήριαι, λακεδαιμόνιαι δὲ γυναῖκες,
Ἄνδρες δ' οἱ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
Ἀλλ' ἔτι καὶ τῶνδ' εἰσὶν ἀμείνονες, [1] οἵτε μεσηγὺ
Τίρυνθος ναίουσι, καὶ [2] Ἀρκαδὶς πολυμήλου
Ἀργεῖος λειοθέρμης, κέντρα πτελίμοτος.
Ἡμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι,
Οὔτε [3] δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

— Σχολ. νεωτ. Μεγαρῆες, ἤγουν ἡμεῖς, s. l. M. Ατιμοτατοι, ἤγουν ἄτιμοι ἐσμεν, s. l. M.

49. Σχολ. νεωτ. Μεγαρῆες, ἤγουν ἡμεῖς, s. l. M. Ατιμοτατ. ἤγουν ἄτιμοι ἐσμεν, s. l. M.

50. Σχολ. παλ. Καὶ εἰ μὲν καταφρονήσαιμι αὐτῆς, δέοντος ἂν μοι τὰ πάντα προχωροίη. — Σχολ. νεωτ. Αποστερξαιμι, ἤγουν ἐπιχωρισθῶ αὐτῆς τελείως, s. l. M. Εις δεον, πρέπον, s. l. M.

51. Σχολ. παλ. Μυς. [4] Παροιμία ἐστὶ τὸ Μῦς γευό-

---

(1) οἱ τὰ J, Salv. — (2) Ἀρκαδίαν πολύμαλον Salv. et fere Vulc. — (3) δυωδεκαταῖοι M, Vulc. — (4) ἐλλιπὲς τοῦτο ἀγαθόν.

Χὤ τι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος
Οὐκ οἶδα· πλὰν Σῖμος, ὁ τᾶς Ἐπιχάλκω ἐρασθείς,
Ἐκπλεύσας, ὑγιὴς ἐπανῆνθ', ἐμὸς ἡλικιώτας.

V. 52. χ' ὥτι p. — ἐντὶ K, Brunck. — ἀμηχανόοντος L. ἀμηχανόεντος P. ἀμαχαφέοντος Kiessl. ἀμηχανόοντες K.

V. 53. πλὴν p. — σιμὸς B. K. Σῆμος v. — Ἐπιχάλκου vulgo Z, Reisk. Harles. Ἐπιχάλκω sic cum c, k, s, v, w, Vat. 5, 8, 9, 10, Scheller. Brunck. Valck. Gaisf. Kiessl. ἐπὶ χάλκου p. ὑποχάλκω B. D.

V. 54. ϑ' ὑγιὴς k, Colb. Taur. B. D. — ἐπανῆνθ' h, v, Junt. Kiessl. Brunck. ἐπάνηνθε F. K. ἐπανηνθέ μοι Vat. G. πόλιν ἦλθ' Colb. Taur. πάλιν ἦλθ' B et D, in quo corr. ἐπανῆνθ' — ἐμοὶ Vat. 8. ὠμὸς J. — ἡλικιώτας sic vulgo cum B. D. G. J. Y. Z, Reisk. Harles. ἁλικιώτας c, h, p, v, w, Valck. Brunck. Gaisf. Kiessl. ἀλκιώτας L.

μενος πίσσης. λέγεται δὲ ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων, καὶ δυςεξειλήτως ἀπαλλασσομένων. ὥςπερ γάρ, φησίν, ὁ πίσσης γευόμενος μῦς ἐνειληθεὶς κρατεῖται, καὶ ζῶν τιμωρεῖται, οὕτω [1] κἀγώ. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΥΣ. Παροιμία· Μῦς ἄρτι πίττης γευόμενος, καὶ μῦς πίττης γεύεται· ἐπὶ τῶν πρώην μὲν τολμηρῶν, ἀθρόον δὲ δειλῶν ἀναφανέντων· ἢ ἐπὶ τῶν νεωστὶ ἀπαλλασσομένων μετὰ κόπου. καὶ ὡς μῦς ἐν πίσσῃ, ἀπὸ Μυὸς τοῦ Ταραντίνου κακῶς Ὀλυμπιάσιν ἀπαλλαγέντος. N.

52. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΗΧΑΝΕΟΝΤ. ἤγουν τοῦ ἀμηχάνου, s. l. M.

53. ΣΧΟΛ. ΠΑΛ. [ΠΑΛΑΝ ΣΙΜΟΣ. πλὴν ὅτι Σιμὸς ἡλικιώτης μοι ἐκστρατεύσας ὑγιὴς ἀπὸ τοῦ ἔρωτος ἐπανῆλθε. ὑπόχαλκον δὲ ἂν λέγοι τὴν ἀσπίδα, ἐπεὶ ἐστὶ ὑπὸ τῷ χαλκῷ, τουτέ-

---

Παρ..... ἐπὶ τῶν εἰς ἀηδὲς ἢ ἄφυκτον π. ἐμπιπτόντων καὶ δυςεξαλείπτως καὶ κακῶς ἀπ. Salv. — Μῦς. Παρ. ἐπὶ τῶν ε. ἀ. ἢ ἄ. π. ἐ. ἐπεὶ γευσάμενος μῦς πίττης, ἀφύκτως πεδεῖται καὶ ἁλίσκεται. M.

(1) κἀγώ, φησίν, οὐχ ὅτι παρακμάζων ἔχω τὸ πάθος, ἀλλ' ὅτι ἀρχὴν αὐτοῦ λαμβάνω. Salv.

Digitized by Google

Πλευσοῦμαι κήγὼν διαπόντιος· οὔτε κάκιστος, 55
Οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ὁ στρατιώτας.

ΘΥΩΝΙΧΟΣ.

Ὤφελε μὰν χωρεῖν κατὰ νοῦν τεὸν ὧν ἐπεθύμεις,
Αἰσχίνα· εἰ δ' οὕτως ἄρα σοι δοκεῖ, ὥστ' ἀποδημεῖν,
Μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος.

V. 55. πλευσεῦμαι w, Vat. 8, G. πλασεῦμαι c, K. M. — κήγὼ vulgo Reisk. Harles. κήγὼ N. Y. Z. κήγὼν sic cum a, k, p, v, K. L. M. P, Brunck. Valck. Gaisf. Kiessl. — οὔτε Vat. 5.

V. 56. ὁ μᾶλλος οὐδέ τις στρατιώτης v. ὁ μηλὸς δέ τις O. στρατιώτης w.

V. 57. ὦ φίλε c. ὤφελεν Ott. — χωρεῖν sic vulgo cum Z, Reisk. Harles. χώρῃν p, Vat. 3, 5, Valck. Brunck. Gaisf. Kiessl. — κατὰ νῶν K. — ἐπιθυμεῖς v, Scheller. Kiessl.

V. 58. αἰδ' Brunck. — οὐτῶς Gaisf. Kiessl. — τὶν pro σοι Brunck. — ἀποδαμεῖν sic vulgo cum N. Y. Z, Reisk. Harles. ἀποδαμεῖν c, w, P, Brunck. Valck. Gaisf. Kiessl. ἀποδραμεῖν k, p, Colb. Taur. item D, qui in marg. ἀποδαμεῖν.

V. 59. ἄριστος ἐλευθέρῳ οἷος h, F. — Aliter distributis interlocutorum partibus, sic versum exhibent p, Vatt. C. G. J. L. N. O. P. Y, ~~Scheller. Junt.~~ Ald. Lovan. μισθοδότας Πτολεμαῖος. ΑΙΣΧΙΝΗΣ. ἐλευθέρῳ οἷος. ΘΥΩΝΙΧΟΣ. ἄριστος.

στιν ἀφ' ἑαυτοῦ ἔχουσα τὸν χαλκόν· ἐκ δὲ τούτου τὴν στρατείαν δηλοῖ. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΙΧΑΛΚΩ, ἐπιχάλκου θυγατρός, s. l. M.

55. ΣΧΟΛ. ΝΕΩΤ. ΠΛΑΣΕΥΜΑΙ, πλευσοῦμαι, s. l. M. ΔΙΑΠΟΝΤΙΟΣ, διὰ θαλάσσης, s. l. M. ΚΑΚΙΣΤΟΣ, ἐλάττων εἰμὶ δηλονότι ἐκείνου, s. l. M.

56. ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΑΤΟΣ, ἤγουν προέχων ἐμοῦ ἐκεῖνος, s. l. M. ΟΜΑΛΟΣ, ἴσος ἐμοί, s. l. M.

57. ΣΧΟΛ. ΝΕΩΤ. ΧΩΡΕΙΝ, ἔρχεσθαι, s. l. M. ΚΑΤΑ ΝΟΥΝ, κεῖνα, s. l. M. ΤΕΟΝ, τὸν σόν, s. l. M.

59. ΣΧΟΛ. ΝΕΩΤ. ΜΙΣΘΟΔΟΤΑΣ, μισθοδότης ἐστίν, s. l.

Digitized by Google

ΑΙΣΧΙΝΗΣ.

Τἆλλα δ' ἀνὴρ ποῖός τις;

ΘΥΩΝΙΧΟΣ.

Ἐλευθέρῳ ὅστις ἄριστος, 60
Εὐγνώμων, φιλόμωσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς·
Εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον·
Πολλοῖς πολλὰ διδούς· αἰτεύμενος οὐκ ἀνανεύων·

V. 60. τὰ δ' ἄλλα F. G. τὰ δ' ἄλλ' a, h, s, v, Vat. 10. — οἷος pro ὅστις c, k, v, w, Colb. Taur. Vat. 5, 6, 10, B. K. L. M. — ἐλευθέρῳ ὁ. ἄρ. om. P. — Versus deest in p, Vat. 9, D. F. J. P. — In Vatt. nonnullis, C. G. F. L. N. O. P. Y. Z, Junt. Ald. Lovan. versui præfigitur ΑΙΣΧΙΝΗΣ, omisso Thyonichi nomine (ΘΥΩΝ.) ante ἐλευθέρῳ. in aliis Vatt. et J tribuitur versus Thyonico. in Scheller. a 2ª, man. additur: ἐλευθέρῳ οἷος. ΘΥΩΝ. ἄριστος.

V. 61. φιλόμουσος p, v, w, Y. φιλόμοισος D. — ἐς ἀκρ. Ott. J. Y. Z, Ald. — ἡδύς p, v, Y. — Versui præfigitur ΘΥΩΝΙΧΟΣ in Scheller. F. L. P, Junt. Ald. Lovan.

V. 63. πολλὼς G. — αἰτούμενος v. — ἀνανεύως Ott.

M. ΕΛΕΥΘΕΡΩ, τινὶ ἐλεύθερῳ τὴν ψυχὴν ἤγουν τῇ ἐλευθερίᾳ, s. l. M. ΟΙΟΣ, μόνος, s. l. M.

60. ΣΧΟΛ. ΠΛΑ. [ΤΡΙΚΛΙΝΙΟΥ. ὥςπερ φαμὲν ΤΟ ΣΟΦΟΝ τοῦ δεῖνα, ἤγουν ἡ σοφία, καὶ τὸ θυμούμενον, ἤγουν ὁ θυμός, καὶ ἄλλα τοιαῦτα, οὕτω νοήσεις κἀνταῦθα καὶ τῷ ἐλευθέρῳ, ἤγουν τῇ ἐλευθερίᾳ, οὕτως· ἐν τῇ ἐλευθερίᾳ οἷος καὶ μόνος ἄριστος. εἰ δὲ δασεῖαν ἐν τῷ οἷος θήσεις, εὕρηται γὰρ καὶ οὕτως, ἀντὶ τοῦ μέγας ἐρεῖς, στίξας εἰς τὸ οἷος· ἤγουν ἐν τῇ ἐλευθερίᾳ μέγας Αἰσχίνης, τὸ δὲ ἄριστος ἀσύνδετον ἐρεῖς. M.]

61. ΣΧΟΛ. ΝΕΩΤ. ΦΙΛΟΜΟΥΣΟΣ, φιλολόγος, s. l. M. ΑΔΥΣ, ἡδύς, γλυκύς, s. l. M.

63. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΛΛΟΙΣ, ἐνταῦθα σύναπτε τὸ οἷα χρὴ βασιλέα, s. l. M. ΑΙΤΕΥΜΕΝΟΣ, αἰτούμενος, s. l. M.

Digitized by Google

Οἷα χρὴ βασιλῆ· αἰτῶν δὲ δὲ σοι ἐπὶ παντί,
Αἰσχίνα. ὥστ', εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει 65
Λῶπον ἄκρον περονᾶσθαι, ἐπ' ἀμφοτέρας δὲ βεβακὼς,
Τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώτην,

V. 64. οἷον Stobæus. — βασιλῆι d, Z, Ald. βασιλῆα a, k, h, l, p, v, Vat. βασιλεῖα c, w, Stob. Brunck. βασιλῆ sine apostropho Kiessl. — αἰτεῖν p, Valck. Harles. Gaisf. αἰτῆν Brunck. Kiessl. — χρὴ pro δὲ Stobæus. vocem om. a ap. Gaisford.

V. 65. εἴ τοι σοι Vat. 5. εἴ τι Vat. K. αἴ τοι Brunck. — κατα-δεξιὸν G. — ἀρέσκοι s, Vat. 8, 9, J. Y. ἀρέσκει et suprascr. ἀρέσκοι D.

V. 66. λῶπον sic vulgo cum F. K. M. N. O. Z, Scheller. Ald. vett. edd. Steph. Reisk. Harles. λῶπος Colb. Taur. Vat. 8, 9, J. P. Y, Valck. Call. Junt. Brunck. Gaisf. Kiessl. — προνᾶσθαι J. — ἀμφοτέροις a, c, d, e, g, h, l, k, p, s, v, w, x, Ott. Vat. 3, 8, 9, Colb. Taur. D, Scheller, edd. pr. Valck. Harles. Gaisf. Kiessl. ἀμφοτέρας Z, Ald. Brunck. ἀμφοτέρων Call. Steph. vett. edd. nonnulla. — βεβακὼς Ott. g, Ald. βεβακὼς et corr. βεβακὼν F. L. βεβακὼς et corr. βεβακὼς Q. βεβηκὼς Y.

V. 67. τολμησεῖς Y. τολμασῆς p, v, Vat. 3, 5, 6. τολμησῆς Vat. 10. τολμῆς B. D. — μένην g, Vat. 3, 10, Ott. Br. μένην p, N. O. — ἀσπιδιώτας B. D. ἀσπιώτας p.

---

64. Σχολ. Νεωτ. Οἷα χρὴ, δεῖδοναι, s. l. M.

65. Σχολ. Παλ. [εἴ τοι, φησὶν, ἀρέσκει ἐμπεπάρθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον (τοῦτο δὲ στρατιωτικόν ἐστιν ἔνδυμα, ὁ κοινῶς ἐπανωκλίβανον λέγεται), καὶ βαίνειν ἐπὶ θόρρου καὶ προσδέχεσθαι στρατιώτην ἕτερον ἀνδρεῖον, ἐπερχόμενόν σοι ὅταν οἱ ἀγῶνες γίνωνται, ταχέως εἰς Αἴγυπτον ἀπελθε. M.]

66. Σχολ. Νεωτ. Ἐπ' ἀμφοτέροις, ἵπποις ἤγουν δίφρῳ, s. l. M.

67. Σχολ. Νεωτ. Ἐπιόντα, ἐπερχόμενον, s. l. M. Θρασὺν, ἀνδρεῖον, s. l. M. Ἀσπιδιώτην, στρατιώτην ὡπλισμένον, s. l. M.

Digitized by Google

Αἰ τάχος εἰς Αἴγυπτον· ἀπὸ κροτάφων πελόμεσθα
Πάντες γηραλέαι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
Λευκαίνων ὁ χρόνος· ποιεῖν τι δεῖ ἄς γόνυ χλωρόν. 70

V. 68. ἄ τ. sine ι subscr. M, Call. Steph. Reisk. ἄ τ. F. ἄ τ. Ott. ὦ ταχὺς B. D, in quo suprascr. αἴ τάχος. ὦ τ. Ald. vett. edd. ἤ ἤ τ. L. P. ὦ τ. Z. ἄ ταχεῖς, omisso εἰς, G. — κροτάφω c, h, v, w, K. L. M. P.

V. 69. ἐπισχερά w. ἐπισχερῶς G. — ἕρπει a, p, Vat. 5, Schol.

V. 70. ποιεῖν sic vulgo cum E. G. J. K. L. M. P. Y. Z, Reisk. Harles. ποιῆν Brunck. Valck. Gaisf. Kiessl. — εἰς γ. sic vulgo cum C. G. J. N. Y. Z, Reisk. Harles. ἄς k, p, Brunck. Valck. Gaisf. Kiessl. ὡς γ. B. K. M, Colb. Taur. et D, in quo suprascr. οἷς ἕως γ. ὡς γ. L. P. οἷος γ. a.

---

68. Σχολ. παλ. Αἰ ταχος. Κατὰ τάχος, ἔρχου δηλονότι εἰς Αἴγυπτον. Ἀπὸ τῶν μηνίγγων γινόμεθα πάντες γέροντες· καὶ ἐφεξῆς κατὰ τάξιν ἐς τὴν παρείαν ἔρχοιτο λευκαίνων ὁ [1] χρόνος. — Σχολ. νεωτ. Αἰ, καθά, s. l. M. Εις Αιγυπτ. γένοῦ, ἄπελθε, s. l. M. Πελομεσθα, ἐαμέν, s. l. M.

69. Σχολ. νεωτ. Γηραλεοι, γηραιοί, s. l. M. Ἕρπει, κάτεισι, s. l. M.

70. Σχολ. παλ. Διὸ δεῖ τι ποιεῖν [2] οἷς γονυ χλωρον, ἀντὶ τοῦ ἕως ἀκμάζομεν. — Σχολ. νεωτ. Λευκαινων, γηρῶν, s. l. M. Χλωρον, ἰσχυρόν, νέον ὄν, s. l. M.

---

(1) Post hoc verbum supple e Cod. Laurent. 46: ταχέως ἔπεισι τὸ γῆρας ἡμῶν τοῖς κροτάφοις. καὶ αἱ πολιαὶ ἀεὶ καθέρπουσιν ἀπὸ τῶν αὐτῶν μέχρι τοῦ γενείου ἐφεξῆς. διὸ ποιεῖν τι δεῖ, ἕως τὸ γόνυ χλωρόν. *Kiessl.* — (2) ἕως τὸ γ. χ. ἤγουν ἕως ἰσχὺν ἐκ τῆς ἡλικίας ἔχομεν καὶ ἐνεργεῖν δυνάμεθα. M.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΠΕΜΠΤΟΥ ΚΑΙ ΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Συρακουσσαὶ ἢ [1] Ἀδωνιάζουσαι. τὰ δὲ πράγματά εἰσιν ἐν Ἀλεξανδρείᾳ· ὑποτίθεται [3] γάρ [4] τινας, συρακουσίας τὸ γένος, [5] παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ κατὰ [6] τάξιν ἐπὶ θέαν ἐξιούσας τῆς [7] πομπῆς τοῦ [8] κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς [9] Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός. [10] ἔθος γὰρ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ ἐν τοῖς Ἀδωνίοις καλουμένοις (ἑορτὴ δὲ ἦν ὑπὲρ τοῦ Ἀδώνιδος τελουμένη) [11] κοσμεῖν εἴδωλα τοῦ Ἀδώνιδος, καὶ μετὰ τῶν [12] ὑπερεχουσῶν ἐπὶ τὴν θάλατταν [13] κο-

(1) Ἀδωνίζουσαι E. K. M. N. — (2) τὰ δὲ π. ε. ἐν Ἀ. om. M. P, Call. — (3) δέ Call. — (4) τινὰς γυναῖκας Σ. D. — (5) ἐπιδημούσας N. P. — (6) σύνταξιν D. K. M, Call. — (7) προπομπῆς N. — (8) κομισθέντος Call. — (9) Πτολεμαίου om. P. — (10) ἔθος δὲ ἔχουσιν οἱ κατὰ Ἀλεξάνδρειαν, διακοσμήσαντες εἴδωλα τοῦ Ἀδώνιδος ἐν τοῖς Ἀδωνίοις μετὰ τῶν νομιζομένων (ὀνομαζομένων P.) ἐπὶ τὴν θάλατταν κομίζειν M. P. — (11) διακοσμήσαντες εἴδωλα K. — (12) νομιζομένων D. — (13) Post κομίζειν hæc Callierg. Αἱ δὲ Συρακούσιαι, ἐξελθοῦσαι τῶν οἴκων, θαυμάζουσι τὸν ὄχλον, καὶ ὅσα ἐν τῷ ὄχλῳ. Διαγράφει δὲ ὁ Θεόκριτος ἐπιδημούσας ἐν Ἀλεξανδρείᾳ χαριζόμενος τῇ Βασιλίδι, τόν τε σκυλμὸν καὶ βιασμὸν τῶν ἀνδρῶν, καὶ ᾆδουσάν τινα, καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι' ᾠδῆς ἀπαγγέλλουσαν.

Digitized by Google

μίζειν, [1] Παραγίνεται ἡ Γοργὼ πρὸς Πραξινόην, καὶ [2] παραλαβοῦσα αὐτήν [3], ἐξέρχονται ἐπὶ τὴν θέαν. Παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι θεμένων (forte leg. θεωμένων) τὰ Ἴσθμια. ἔστι δὲ κεχωρισμένον τοῦ ποιητικοῦ προςώπου· καὶ γὰρ πρόςωπα εἰςάγονται, ἥ τε Γοργώ, καὶ ἡ Πραξινόη, καὶ ἡ τῆς Πραξινόης θεράπαινα. ἄρχεται δὲ Γοργώ. προϊόντος δὲ τοῦ εἰδυλλίου, καὶ ἕτερα πρόςωπα παρειςάγονται, Γραῦς τις, Ἀνήρ, καὶ γυνὴ Ἀοιδός.

[Δραματικόν. Δωρίδι. M.]

EX COD. Y (169 Coisl., olim 316, fol. 350 r.).

Ἐπιγράφεται μὲν τὸ Εἰδύλλιον, Συῤῥακούσιαι ἢ Ἀδωνιάζουσαι, ὑποτίθεται δὲ γυναῖκας, συῤῥακουσίας τὸ γένος, ἐπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ τοῦ (sic) σύνταξιν ἐπὶ θέαν [4] ἐξιούσας τῆς πομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς τοῦ Φιλαδέλφου γυναικός. ἔρχεται δὲ Γοργὼ πρὸς Πραξινόην, καὶ παραλαβοῦσα αὐτήν, ἐξέρχεται ἐπὶ τὴν θέαν. Παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι. Ἔθος δὲ ἔχουσιν οἱ κατὰ Ἀλεξάνδρειαν, κοσμήσαντες εἴδωλον τοῦ Ἀδώνιδος, ἐν τοῖς Ἀδωνείοις μετὰ νομιζομένων ἐπὶ τὴν θάλατταν κομίζειν. [5] αἱ δὲ Συῤῥακούσιαι ἐξελθοῦσαι τῶν οἴκων θαυμάζουσι τὸν ὄχλον. ὅσα τε γὰρ ἐν ὄχλῳ [6] διατρέφει (sic) ὁ Θεόκριτος ἐπιδημήσας εἰς Ἀλεξάνδρειαν, χαριζόμενος τῇ βασιλίδι, τόν τε σκυλμὸν

---

(1) Ἄρχεται ἡ Γοργὼ D. M. — (2) περιλαβοῦσα D. — (3) ἐξέρχεται M. — (4) Incertum quid repræsentet abbreviatio quam ἐξ appellamus. *Gail.* — (5) Hæc usque ad finem desunt in N. — (6) διαγράφει D.

Digitized by Google

καὶ βιασμὸν τῶν ἀνδρῶν, καὶ ἄδωσαν (sic) τινά, καὶ τὴν [1] πολυτέλειαν τῆς Ἀρσινόης δι' ᾠδῆς ἀπαγγέλλουσαν.

EX COD. E (2758).

ΕΙΔΥΛΛΙΟΝ Θ', ΟΠΕΡ ΕΠΙΓΡΑΦΕΤΑΙ ΣΥΡΑΚΟΥΣΙΑΙ.

1ᵃ. Cod. lin. Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Συρακούσιαι ἢ Ἀδωνίζουσαι. τὰ δὲ πράγματά εἰσιν ἐν Ἀλεξανδρείᾳ. ὑπο-

2. τίθεται γάρ τινας συρακουσίας τὸ γένος, ἐπιδημησάσας ἐν Ἀλεξανδρείᾳ. καὶ κατὰ τάξιν ἐπὶ θέαν ἐξι-

3. ούσας τῆς προπομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός·

4. ἔθος γὰρ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ ἐν τοῖς Ἀδωνίοις καλουμένοις, ἑορτὴ δὲ ἦν ὑπὲρ τοῦ Ἀδώνιδος

5. τελουμένη, κοσμεῖν εἴδωλα τοῦ Ἀδώνιδος, καὶ μετὰ τῶν ὑπερεχουσῶν ἐπὶ τὴν θάλατταν κομίζειν.

6. παραγίνεται οὖν ἡ Γοργὼ πρὸς Πραξινόην, καὶ παραλαβοῦσα αὐτήν, ἐξέρχονται ἐπὶ τὴν θέαν. παρέπλασε

7. δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι θεμένων τὰ Ἴσθμια. ἔστι δὲ κεχωρισμένον τοῦ ποιητικοῦ προσώπου.

8. καὶ γὰρ πρόσωπα εἰσάγονται ἥ τε Γοργὼ καὶ ἡ Πραξινόη, καὶ ἡ τῆς Πραξινόης θεράπαινα. ἄρχεται δὲ ἡ

9. Γοργώ. προϊόντος δὲ τοῦ εἰδυλλίου, καὶ ἕτερα πρόσωπα εἶσι, γραῦς τις, ἀνήρ, καὶ γυνὴ ἀοιδός.

---

(1) πολιτείαν D.

Digitized by Google

ARGUMENTUM

IDYLLII XV.

QUUM Adonidis sacra Arsinoes cura et sumtibus magna hominum celebritate Alexandriæ agerentur, Theocritus materiam inde arripuit, et ipsam reginam totamque Ptolemæorum familiam splendidis laudibus eleganter ornandi. quod ut faceret in hoc Idyllio, duas inferioris loci mulierculas exhibet, quæ, Syracusis natæ et educatæ, cum maritis Alexandriam habitatum concesserant, et, ut splendidum festi apparatum spectent, una cum ancillis in aulam regiam sese conferunt. Plures hujus carminis constituendæ sunt partes sive scenæ, quarum prima in Praxinoes agitur ædibus, quo Gorgo venit, ut amicam arcessat — 43. Post varios sermones, quales inter mulieres haberi solent, rebus domi compositis, ambæ ancillis comitantibus in viam publicam prodeunt, ubi illis turba hominum undique confluentium stuporem, equi regis forte occursantes terrorem incutiunt. Sequitur brevis cum vetula obviam iis facta confabulatio — 64. Jam in regiæ porta in hominum turba misere luctantur, et ægre tandem, ignoto quodam homine opem præstante, in eum locum penetrant, ubi Adonidis sacra fiunt — 77. In ipsa denique regia, dum Adonidis ibi expositam imaginem, dum stragularum, vestium reliquique ornatus magnificentiam, dum omnia denique admirantur, de omnibus garriunt, altercatio iis oritur cum spectatore quodam, intolerabilem earum garrulitatem ægre ferente — 95. Conticescunt tandem, ut carmen audiant in honorem Adonidis compositum, quod idem Arsinoes Berenicesque laudes complectitur — 146. Quo carmine finito, post laudes cantatrici tributas, domum redire parant. — Egregium poëma, tum ob veritatem et festivitatem, qua muliebris indoles repræsentatur; tum ob rerum varietatem orbe satis exiguo exhibitarum; tum denique ob elegantiam, qua regiæ familiæ laudes attexuit auctor. — Totum est mimicum, factumque ad imitationem mimorum Sophronis muliebrium.

Digitized by Google

ΣΥΡΑΚΟΥΣΙΑΙ Η ΑΔΩΝΙΑΖΟΥΣΑΙ.

ΕΙΔΥΛΛΙΟΝ ΙΕ'.

ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ [* ΕΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ΑΟΙΔΟΣ].

ΓΟΡΓΩ.

Ἔνδοῖ Πραξινόα;

ΠΡΑΞΙΝΟΗ.

Γοργὼ φίλα, ὡς χρόνῳ! ἐνδοῖ.

Ἀδωνίζουσαι G. K. M. Y.* Hæc cum Valck. Gaisf. Kiessl. addidimus, deleto Eunoes nomine quod vett. libri omnes, Reisk. Harles. exhibent.

V. 1. γοργὼ sic vulgo cum A. D. E. F. G. K. L. M. N. O. P. Y. Z, vett. edd. Reisk. Harles. γοργοῖ h, k, p, Wintert. Brunck. Gaisf. Kiessl. — ancillæ nomen, ΕΥΝΟΑ, huic voci præfixerunt A. D. F. N. O. Z, vett. edd. Reisk. Br. Harles. Dahl.; ΘΕΡΑΠΑΙΝΑ E. L. M. P. Y; ΘΕΡΑΠΕΥΝΟΑ G. verbis a Γοργ. ad κοτίκρανον, deleto Eunoes nomine, Praxinoæ nomen cum Valck. Gaisf. Kiessl. præfigimus.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ. Του Τρικαινιου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρμθ', ὧν τελευταῖος· Χαῖρε Ἄδων· ἀγαπητέ, καὶ ἐς χαίροντας ἀφίκευ. M.

1. ΣΧΟΛ. ΠΑΛ. ΕΝΔΟΙ. [1] Ἀντὶ τοῦ ἔνδον ἐστί, τοπικὸν

---

(1) Πρὸς θερ. φησὶν ὅτι ἔνδον ἡ Πραξινόη ἐστί. π. ἢ ἡ δ. ὡ. χ. λ.

Digitized by Google

Θαῦμ' ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον, Εὐνόα, αὐτᾷ·
Ἔμβαλε καὶ ποτίκρανον.

ΓΟΡΓΩ.

Ἔχει κάλλιστα.

ΠΡΑΞΙΝΟΗ.

Καθίζευ.

V. 2. ἦλθες p. — ὅρα a, c, w, Vat. E. K. L. M. P. ὅρη v. — ὦ' νόα v. — αὐτῇ A. E. F. K. L. M. N. Y. Z. αὐτή D. — Versui præfigitur ΠΡΑΞΙΝΟΗ in E. F. L. M. O. P. Z, Steph. Reisk. Warton. Harles. quod nomen voci ὅρη præscribitur in A.

V. 3. ἔκβαλλε E. — ποτίκανον et corr. ποτίκαρνον, O. — κάλλιστον Vat. 10, Y. — καθίσδευ Brunck. Kiessl. — Verba ἔχει κ. Eunoæ tribuunt, præfixa voce ΕΥΝΟΑ, A. D. F. G. N. O. Z, vett. edd.; et ΘΕΡΑΠΑΙΝΑ, E. L. M. P. Y.

ἐπίῤῥημα, ὡς τὸ Μεγαροῖ, Πυθοῖ. ἀντιπίπτει δὲ τούτοις τὸ οἴκοι. Ἡ Γοργὼ δέ φησι πρὸς τὴν Θεράπαιναν· ἔνδον ἐστὶν ἡ Πραξινόα; πρὸς ἣν ἡ δούλη, ὡς χρονίαν λέγει, Γοργὼ φίλα, ΩΣ ΧΡΟΝΩι, ἀντὶ τοῦ ὡς διὰ χρόνου! εἶτα μικρὸν διαστήσασα ἐπάγει, ΕΝΔΟΝ, ἀντὶ τοῦ ἔνδον ἐστί. — ΣΧΟΛ. ΝΕΩΤ. ΧΡΟΝΩι, ἦλθες, s. l. M. λίαν χρονίως παρεγένου ἡμῖν, s. l. E.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΘΑΥΜ' ΟΤΙ, τοσοῦτον δηλονότι βραδύνασα, s. l. E. N. ΟΡΑ, σκόπει, s. l. M. ΔΙΦΡΟΝ, θρόνον, s. l. M. καθέδραν, s. l. E. N.

3. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΙΚΡΑΝΟΝ, ὑποπόδιον ἢ τὸ κοινῶς προςκέφαλον, s. l. E. M. N. ΕΧΕΙ ΚΑΛΛΙΣΤΑ, τὰ προςτεταγμένα, s. l. M.

ἦλθες Γ. φίλη. εἶτα μ. δ. ἐ. ἐνδαῖ, ἀ. τ. ἔνδον. ἔστι δὲ ἐπίῤῥημα, ὡς τὸ Μ. Π. οἷς ἀ. τὸ οἴκοι. M.

Digitized by Google

ΓΟΡΓΩ.

Ω τᾶς ἀδεμάτου ψυχᾶς! μόλις ὕμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων. 5
Παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
Ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαστοτέρω ἔμ' ἀποικεῖς.

V. 4. ὦ Ott. — ἀδεμάτου sic vulgo cum A. D. F. K. N. O. Z, Steph. Warton. Reisk. Harles. ἀδεμάτου et ab alia man. ἀδειμάντου, n. ἀδεμάτω et corr. ἀδαράτω, L. M. ἀδαμάτω a, c, k, w, Casaub. Valck. Brunck. Gaisf. Kiessl. ἀδειμάντου r, s, Vat. 8, 9, G. Y. ἀδειμάντω E. ἀδημάτω P. ἀδαμάντου Vat. 5. ἀδαμέτου Vat. 10. ἀδαμάτου p. ἀδαμάστου C. ἀδεμάτω Junt. ἀδεμάντου Vat. ap. Sanctam. — ὑμμῖν A. — εὐσώθην G. ἐσώθη L.

V. 5. πολλοῦ μ. ὄχλου A. D. F. G. K. P. Y. Z, Reisk.

V. 6. παντᾶ bis Brunck. — χλαμύδες pro κρηπῖδες Vat. 10.

V. 7. ἡ δ' w. — ἑκαστέρω k. — ἐμ' n, p, r, w, Reisk. Harles. ἔμ' Valck. Gaisf. Kiessl. ἄμμιν Brunck.

---

4. ΣΧΟΛ. ΠΑΛ. [1] Ἤδη ἐπιπόνως, μόλις πρὸς ὑμᾶς ἐσώθην ἀπὸ τοῦ ὄχλου καὶ τῶν ἁρμάτων. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΔΕΜΑΤΟΥ, ὦ τῆς ἀδειμάτου, ἐπιπόνου, ἀφόβου ἡμετέρας ψυχῆς πῶς ἦλθε τὸν ὄχλον, s. l. E. M.

5. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΛΛΩ ΜΕΝ ΟΧΛΩ, ὄντος δηλονότι κατὰ τὴν ὁδόν, s. l. E. ὄντος ἐν τῇ πόλει, s. l. M. ΤΕΘΡΙΠΠΩΝ, πολλῶν δὲ ἁρμάτων, s. l. M.

6. ΣΧΟΛ. ΠΑΛ. ΚΡΗΠΙΔΕΣ. ἤγουν, πανταχοῦ κεκρηπιδωμένοι [2] ἄνδρες. λέγει δὲ τοὺς ἐν τῇ πόλει στρατιώτας.

7. ΣΧΟΛ. ΠΑΛ. Ἡ δὲ ὁδὸς πολλή. αὐ δὲ ἑκαστοτερω, ἀντὶ τοῦ, πόρρω μοι οἰκεῖς. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΤΡΥΤΟΣ, πολλοῦ πάνυ παρεκτικὴ διὰ τὸ μῆκος, s. l. E. N. ΕΚΑΣΤΟΤΕΡΩ, πόρρω μακράν, s. l. M. πορρωτέρω ἐμοῦ, s. l. E. N.

---

(1) ψυχῆς, ἤγουν τῆς ἐπιπόνου Salv. — (2) ἄνδρες ἤγουν ὑπαδηματηφόροι, s. l. E. N.

Digitized by Google

ΠΡΑΞΙΝΟΗ.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθὼν
Ἰλεόν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
Ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν αἰὲν ἐμεῖο. 10

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα, φίλα, Δείνωνα τοιαῦτα,

V. 8. πάναρος c, K. M. πέραγος G. — οὗτος Vat. ap. Sanctam. pro τῆνος quod om. G. P. — γᾶς sic cum p, w, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. γῆς quod A. G. Z, vett. edd. Reisk. Harles. vocem om. L. P. — Versus deest in P.

V. 10. ἀλλήλαις p. ἀλλ' ἄλλαις G. — αἰεὶ k, p, w, C. G. L. P. Y, Vat. — ἐμεῖο sic vulgo cum N, Reisk. Harles. ἐμεῖο Ott. x, A. D. E. F. O. Z. ὁμοῖος a, c, k, p, s, w, Vat. 8, 9, G. K. L. M. P. Y. ὅμοιος Valck. Gaisf. ἐμείω Brunck. Kiessl.

V. 11. Δίνωνά τοιαῦτα p, w, K. M. Y, Junt. Valck. in priore edit. Harles. Δείνωνα τ. Br. Valck. in altera ed. Gaisf. Kiessl. vulgo τοιαῦτα Διώνα quod D. Z et O, in quo corr. Δικώνα, edd. vett. τ. Δίωνα Reisk. Δίωνα τ. a, c, h, s, Δίκωνα A. E. F. L. N. P. Δίχωνα k. Δίωνη C. Διδῶνα G.

---

8. ΣΧΟΛ. ΠΛΑ. Ἡ Πραξινόα ταῦτά φησι περὶ τοῦ ἰδίου ἀνδρός· ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν. ΠΑΡΑΡΟΣ δὲ ὁ παρηρτημένος τὴν γνώμην, ὁ ἀνάρμοστος, ὁ ἀχρήσιμος καὶ μάταιος· ἐκ μεταφορᾶς τῶν [1] παρήρων ἵππων, οἵ τινες τῷ ζυγῷ οὐ [2] χρησιμεύουσιν. ΙΛΕΟΝ δὲ λέγουσι τὸν φωλεὸν ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐν αὐτῷ εἱλεῖσθαι. ΦΘΟΝΕΡΟΝ δὲ ἀντὶ τοῦ φιλάνεικον. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΝΑΡΟΣ, παράφορός, ἀνάρμοστος, ἀχρησίμευτος, s. l. M. ὁ παράφορος ἐκεῖνος ἤγουν ὁ ἀνήρ μου, s. l. E. N. Ἐπ' ΕΣΧΑΤΑ, ἐπὶ τὰ ἔσχατα τῆς πόλεως, s. l. E.

9. ΣΧΟΛ. ΝΕΩΤ. ΩΜΕΣ, ἔγω τε καὶ σύ, s. l. E.

---

(1) Pro hoc adscribunt in margine veteres editt. παρηόρων. Vide Valcken. ad Herodot. p. 236, 45. *Kiessl.* παρηόρων M, Salv. — (2) χρησιμεύουσιν πάραρον τοῦτον λέγει. M.

Digitized by Google

Τῷ μικκῷ παρεόντος. ὅρη, γύναι, ὡς ποθορῇ τυ.

ΠΡΑΞΙΝΟΗ.

Θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγω ἀπφύν.

ΓΟΡΓΩ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν· καλὸς ἀπφύς.

V. 12. τῷ μικρῷ Vat. ap. Sanctam. μικρῷ p. — ὅρα c, w, M. P. — ποθορῷ Vat. 10. παθορῆτο l.

V. 13. θάρση a, p. — ζωπορῶν w. ζωοπυρίων P. — λέγει k, w, in quo ω supr. ει. — ἀπφύς M.

V. 14. καὶ pro ναὶ L. — πότνιαν sic cum a, c, d, e, g, h, k, p, s, w, x, Vat. 8, 9, L. M. P. Y, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. πότναν quod vett. edd. Reisk. Harles. — ἀπφύς M.

---

12. ΣΧΟΛ. ΝΕΩΤ. ΜΙΚΚΩ, τοῦ μικροῦ παιδὸς παρόντος, s. l. M. ἤγαν τοῦ σοῦ παιδός, s. l. E. N. ΠΟΘΟΡΗ, πρὸς σὲ ὁρᾷ, s. l. E. ὅτι πρὸς σὲ βλέπει τί δηλονότι λέγεις ἀκούων, s. l. M.

13. ΣΧΟΛ. ΠΑΛ. ΑΠΦΥΝ. Οὕτω τὸν πατέρα καλοῦσιν, ἀφ' οὗ τις πέφυκεν. λέγεται δὲ ὑποκοριστικῶς· ἤδη δὲ ἀπὸ τούτου καὶ τὸν πρεσβύτην. — ΣΧΟΛ. ΝΕΩΤ. ΖΩΠΥΡΙΩΝ, ἤγαν ἐκπυρούμενον ἐν τῷ προσώπῳ, s. l. M. ΓΛΥΚΕΡΟΝ, φίλτατον, s. l. E. ΑΠΦΥΝ, τὸν πατέρα τὸν σόν, s. l. E. M.

14. ΣΧΟΛ. ΠΑΛ. Ναὶ μὰ τὴν θεόν· ναὶ μὰ τὴν κόρην· εὖ δὲ τὸ τὰς Συρακουσίας ταύτην [1] ὀμνύναι. φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν [2] δωρήσασθαι. ἡ Πράξινόα δέ φησι ταῦτα τὸν ἄνδρα μεμφομένη. ὁ ἀπφῦς οὖν, φησίν, ἐκεῖνος, ὡς [3] λόγῳ εἰπεῖν, [4] τρισκαιδεκάπηχυς ὑπάρχων ἀνήρ,

---

(1) ὁ. ἀπὸ τούτου Vulc. — (2) χαρίσασθαι Vulc. — (3) λόγος M. — (4) τρισκαιδεκάπηχυς ὤν, σκωπτει M. καὶ οἷον τηλικοῦτος ἀνήρ, ὅτι ἠγόραζε πρώην ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος. ἦλας

ΠΡΑΞΙΝΟΗ.

Ἀπφὺς μὰν τῆνος πρώαν (λέγομες δὲ πρώαν θὴν 15
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,

V. 15. μὰν τῆνος sic cum c, k, p, s, w, Y, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. μὲν quod A. Z, vett. edd. Reisk. Harles. — τὰ πρόαν a, k, p, s, w, Vat. 9, C. E. K. L. M. P. Y, Junt. τὰ πρώαν c. τὰν πρόαν Vat 8. πρόαν G. Z. — λέγωμες Call. vett. nonnullæ edd. parenthesin om. p. — δὲ post λεγομες addimus cum c, h, k, w, L. N, Vat. ap. Sanctam. Junt. Brunck. Valck. Gaisf. Kiessl. vulgo omittitur, itemq. in A. C. D. G. Y. Z, vett. edd. Reisk. Harles. — πρόαν a, k, w, K. M. P, Vat. Junt. — θὴν N. θὴν et corr. γρ. θὴν A. O. punctum ponit Vat. 5 post θὴν.

V. 16. πάντα man. 1ª, et corr. βᾶντα, O.

[σκώπτει δὲ αὐτὸν εἰς μέχεθος καὶ ἄνοιαν] πρώην ἐν τῇ πανηγύρει νίτρον [1] θέλων ἀγοράσαι, ἅλας ἡμῖν ἀντὶ νίτρου ἤνεγκεν, ὡς τοῦ πωλοῦντος ἅλας ἀντὶ νίτρου δεδωκότος. — ΣΧΟΛ. ΝΕΩΤ. Ναὶ, νὴ τὴν θεόν, ἤγουν τὴν Περσεφόνην, s. l. E. N. ΚΑΛΟΣ ΑΠΦΥΣ, ὁ πατήρ σου ἐστί, s. l. E. M.

15. ΣΧΟΛ. ΝΕΩΤ. Ἀπφῦς μὲν οὖν ἐκεῖνος, ἤγουν ὁ πατὴρ πρώην (τοῦτο δ' εἰώθαμεν λέγειν ἐπὶ πάντων τῶν πρὸ ὀλίγου πεπραγμένων), τρισκαιδεκάπηχυς ἀνὴρ ὤν, ἐνδεὴς δὲ κατὰ τὰς φρένας, ὅτε ἀγόραζεν (sic) ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος, ἀντὶ νίτρου ἅλας ἔφερεν. N. ΛΕΓΟΜΕΣ ΠΡΩΑΝ, τοῦτο διὰ μέσου· πάντα δὲ λέγομεν πρώην δή· καὶ τὰ πρὸ πολλοῦ καὶ τὰ πρὸ ὀλίγου δηλονότι γεγονότα, s. l. M. ἤγουν ὡς ἐν λόγῳ εἰπεῖν, s. l. E.

16. ΣΧΟΛ. ΠΑΛ. [2] Σκηνὴν εἶπε, παρόσον ἐν ταῖς

νίτρον, ἅλας αὐτῷ δεδωκότος τοῦ πωλοῦντος. διὸ ἐπισκώπτει αὐτὸν εἴς τε μ. κ. ἀ. Salv.

(1) καὶ φῦκος ὠνήσασθαι ἀπελθὼν, ἅλας ἤνεγκεν ἡμῖν ὡς νίτρον, ἐξαπατήσαντος αὐτὸν τοῦ πωλοῦντος, καὶ δεδωκότος ἅλας ἀντὶ νίτρου. M. — (2) ΣΚΑΝΑΣ. πανηγύριος· π. ἐ. τ. π. σκηναὶ ἐ. ο. π. MS. apud Casaubonum.

Digitized by Google

Ἥνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπαχυς.

ΓΟΡΓΩ.

Χὠμὸς ταὐτά γ' ἔχει, φθόρος ἀργυρῖω, Διοκλείδας.

V. 17. κῆνθε l, x, Ott. D, Ald. Reisk. Kiessl. κ' ἦνθε A. Z. ἦλθε w. — ἅλλας A. — ὕμμιν p. ὕμμιν C. — τρισκαιδεκάπαχυς sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. τρισκαιδεκάπηχυς quod Y. Z, vett. edd. Reisk. Harles. τρὶς καὶ δεκάπαχυς G.

V. 18. χ' ὠμος p, Ott. χὠμὸς vulgo vett. edd. Reisk. Harles. — ταῦτ' ἔχει e, k, p. ταὐτά omisso γ' C. K. ταῦτα F. — φθόνος l. — ἀργυρίω sic cum Wintert. Valck. Gaisf. Kiessl. pro vulgat. ἀργυρίου quod A. C. F. L. Y. Z, Reisk. Harles. — Δεογγείδας L.

πανηγύρεσι σκιὰς ἐποίουν οἱ πωλοῦντες ταῦτα. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. ΝΙΤΡΟΝ ΚΑΙ ΦΥΚΟΣ, εἴδη ταῦτά ἐστι δι' ὧν καλλωπίζονται αἱ γυναῖκες, s. l. M. ΑΠΟ ΣΚΑΝΑΣ, τῆς σκηνῆς. σκηνὰς γὰρ ἱστῶσιν οἱ πωλοῦντες ἐν ταῖς πανηγύρεσιν, s. l. M. πανηγύρεως, s. l. E. N.

17. ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΑΣ, ἀντὶ νίτρου καὶ φύκους δηλονότι, s. l. E. M. ΤΡΙΣΚΑΙΔ. ἤγουν μακρὸς καὶ ἀφελής, s. l. M. ἀνὴρ τρισκαιδεκάπηχυς ὤν, ἐλλιπὴς δὲ κατὰ γνῶσιν, s. l. E.

18. ΣΧΟΛ. ΠΑΛ. Ἡ Γοργὼ ἐπὶ τοῖς ὁμοίοις μεμφομένη τὸν οἰκεῖον ἄνδρα, φησί· καὶ ὁ ἐμὸς ἀνὴρ Διοκλείδας, ἑπτὰ δραχμῶν [1] ἠγόρασε ποκάρια γεγηρακότων προβάτων. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΥΤΑ, τὰ ὅμοια, s. l. E. ΦΘΟΡΟΣ, ὁ φθορεὺς τοῦ πλούτου, τῶν χρημάτων. s. l. M. φθορεὺς ὢν ἐπὶ ματαίῳ δηλονότι, s. l. E. N.

---

(1) ἠγόρασεν ε' ποκάρια. Toupius in Epist. de Syracus. p. 331. *Kiessl.* δραγμῶν ἡ. πόδας Salv. πόδας M.

Digitized by Google

Ἑπτὰ δραχμῶν, κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
Πέντε πόκως ἔλαβ' ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ.
Ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ. 21

V. 19. ἑπταδράχμως a, c, d, e, g, h, k, l, p, s, w, x, Ott. Vat. 5, A. C. D. E. F. K. L. M. N. O. P. Y. Z, Med. Ald. Junt. Call. Reisk. Gaisf. δραχμῶς Vat. g. δραχμῶν Steph. Harles. Kiessl. ἑπταδράχμω G. — γραῖαι a, w. — ἀποτίλματα G. — πηρᾶν c, k, p, s, G. Y, Valck. Schæfer. Harles. Gaisf. Kiessl. πηρῶν A. D. F. Z, Ald. vett. edd. Reisk. πύρας w, ap. Warton. πυρῶν Call. Steph. πυγᾶν Brunck.

V. 20. ἀντὶ πόκων Warton. Brunck. πόκους p. — ἔλαβε χθὲς G. χοῦς pro ἐχθὲς Y. — ῥύπος vulgo et A. C. D. F. G. N. O. Y. Z, vett. edd. Reisk. Harles. ῥύπον h, k, w, M. P, Brunck. Valck. Gaisf. Kiessl.

V. 21. τὠμπέχονον F. — περονητρίδα G. Y. περονατρίδαζευ sic w ap. Sanctam. — λάζευ G. Y. καταδεῦ Brunck. Kiessl. — Hunc versum usque ad v. 25 inclusive, Praxinoæ tribuunt Vatti ap. Wart.

---

19. Σχολ. νεωτ. Ἑπτάδραχμον, δούς, s. l. L. ἤγουν ἑπτὰ δραχμῶν, s. l. E. Κυνάδας, κυμείας τρίχας, s. l. M. ἤγουν τραχεῖς, s. l. E. N. Γραιαν, γεγηρακυιῶν ὀΐων, s. l. E. N. Ἀποτίλματα, ἀποκόμματα, s. l. M. ἀποκαθάρματα, s. l. E. N. Πηραν, τυφλῶν ὑπὸ τοῦ γήρως, s. l. E. τυφλῶν ὀΐων, s. l. M.

20. Σχολ. παλ. Οὐκ ἔρια, ἀλλ' ΕΡΓΟΝ ΕΠΙ ΕΡΓΩι, διὰ τὸ δὶς αὐτὰ πλύνεσθαι. Κυνάδας δὲ οἷον κύνεια, τραχέα. — Σχολ. νεωτ. Πόκως, πόκους τὰ κοινῶς ποκάρια, s. l. M. Ἔλαβ', ἀντὶ τοῦ ἠγόρασε, s. l. E. N. Ἅπαν, ἅπαντα κατὰ ἀποκοπήν, s. l. M. τὸ ὅλον, s. l. E. N. Ῥύπον, ὄντα, s. l. E. Ἔργον ἐπ' ἔργωι, ἤγουν δὶς καὶ τρὶς δεόμενα καθαρθῆναι, s. l. E. N.

21. Σχολ. παλ. [1] Τωμπεχονον. Τὸ περιβόλαιον,

---

(1) Scholiastes forsan dederat : τὠμπέχονον, τὸ πέπλον καὶ

Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
Θασόμεναι τὸν Ἄδωνιν· ἀφνεῶ χρῆμα καλόν τι

V. 22. βῶμες Vat. 9, w, G. Y. — βασίλεῖος w. — ἐς om. p, C. — ἀφνειοῦ p. — ἀφνειῶ χρῆμα καλόν τι, omissis Πτ. Θ. τ. Ἄ., Ott. Z, Med. Ald.

V. 23. θασόμεθα c, e, p, w, C. E. K. L. M. P. θασόμεθ' ἄρ h. θασοῦμεν l. θασοῦμαι d, sic A et O, in quibus corr. θασοῦμες. θασοῦμεςx, D. θασσόμεναι G. θασόμεθ' ἄρ' E. F. N. θεασόμεναι Vat. ap. Sanctam.

τὸ ἱμάτιον. ΚΑΙ ΤΑΝ ΠΕΡΟΝΑΤΡΙΔΑ. [1] τὸ πέπλον καὶ ἔνδυμα, ὅπερ πρῶτον ὑπεζώννυντο. εἴρηται δὲ ἀπὸ τοῦ περονᾶσθαι, [2] καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι, ὡς αἱ Μακεδονίτιδες. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΔΑ' ΙΘΙ, εἶα, s. l. E. ΠΕΡΟΝΑΤΡ. Περονατρὶς πέπλον ἐστὶν ἐπάνω τῶν ἐνδυμάτων περιβαλλόμενον, ὅπερ νῦν μανδύον φασίν, ὅπερ οὐ ζώννυνται, ἀλλὰ διὰ περόνης κατὰ τὸ στῆθος συνδοῦσιν. E. N. τὸ μανδύον, s. l. E. ΑΑΖΕΥ, λάβε, s. l. E. M.

22. ΣΧΟΛ. ΠΑΛ. Εἰς τὰ βασίλεια πορευθῶμεν τοῦ ἀφνειοῦ καὶ πλουσίου Πτολεμαίου, θεασόμεναι τὸν Ἄδωνιν.

23. ΣΧΟΛ. ΝΕΩΤ. ΘΑΣΟΜΕΘΑ, θεασόμεθα, κατὰ ἀποκοπήν, s. l. E. ΧΡΗΜΑ, τὴν εἰκόνα τοῦ Ἀδώνιδος, s. l. M.

ἔνδ. ὁ. π. ὑ. Καὶ τὰν περ. τὸ περιβόλαιον ἱμάτιον, ὁ. οὐκ ἐζ. etc. v. H. Stephani Thes. 3, col. 16b, c. *Kahler.*

(1) ἡ περονατρὶς ἔνδυμά τι ὧν ᾧ ἐχρῶντο αἱ Μακεδονίτιδες, ὅπερ πρότερον ὑπεζώννυντο· εἴρηται δὲ ἀπὸ τοῦ περονᾶσθαι καὶ κατὰ τὰς ἐπωμίδας συμβάλλεσθαι. M. — (2) καὶ κατὰ τὰς ἐπωμίδας συμβάλλεσθαι, ὁ Μακεδονιτίδας Salv.

Digitized by Google

Κοσμῆν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΗ.

Ἐν ὀλβίῳ ὄλβια πάντα.

Ὧν εἴδες, χ' ὧν εἴπας, ἰδοῖσα τύ, τῷ μὴ ἰδόντι. 25

ΓΟΡΓΩ.

Ἔρπεῖν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

V. 24. κοσμῆν sic cum Brunck. Wintert. Warton. Valck. Gaisf. Kiessl. pro vulgat. κοσμῆν quod Reisk. Harles. κοσμεῖν c, k, p, w, C. F. Y. — τὴν pro τὰν Y. quam vocem om. p, C. — ἐν ὀλβίῳ Ald. vett. nonnullæ edd. Steph. ἐν ὀλβίῳ Call. et edd. recentiores. — ante ἐν ὀλβ. personæ nomen (ΠΡΑΞΙΝΟΗ) omittunt p, Vatt. A. C. D. F. Y. Z. Hæc verba Gorgoni tribuuntur in Ald. — Versum om. Ott.

V. 25. ἴδες ὧν εἴπας καὶ a, s, Y. εἴδες χ' ὧν Ott. εἴδες ὧν C. E. G. εἴπας καὶ h, C. E. F. G. ὧν εἴπες καὶ c, k. ὧν εἴπες καὶ p. ἴδες, ὧν εἴπες, καὶ ἰδοῦσα τις L. P. ἴδες ὧν εἴπες Vat. 8. ἴδες ὧν καὶ Vat. 9. εἴδες ὧν εἴπες (οις supr. ες) καὶ ἰδοῦσα M. ἴδες οὖν, εἴπες κεν ἰδοῦσα K. — Huic versui præfigunt ΠΡΑΞΙΝΟΗ A. D. F. Z.

V. 26. ἕρπειν sic cum c, k, p, w, Vat. 9, Brunck. in 2ª ed. Valck. Gaisf. Kiessl. pro vulgat. ἕρπην quod A. D. G. N. Z, Reisk. Harles. ἕρπην Ott. Vat. ap. Sanctam. — οὐκ αἰὲν E.

---

24. ΣΧΟΛ. ΝΕΩΤ. ΒΑΣΙΛΙΣΣΑΝ, τὴν γυναῖκα τοῦ Πτολεμαίου, s. l. E. ΕΝ ΟΛΒΙΩι, τῇ εὐδαίμονι, s. l. E. ἤγουν τῷ εὐτυχεῖ πάντα εὐτυχῆ εἰσὶν ὡς καὶ σοὶ τοιαῦτα ἰδούσῃ, s. l. M. ΠΑΝΤΑ, εἰσὶ δηλονότι, s. l. E.

25. ΣΧΟΛ. ΠΑΛ. Ἀντὶ τοῦ ἐξ ὧν [1] εἶπες, καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων δαηήσαιο ἂν τῷ μὴ θεασαμένῳ. — ΣΧΟΛ. ΝΕΩΤ. ΩΝ, ἀφ' ὧν, s. l. E. ΩΝ, καὶ ἀφ' ὧν, s. l. M. ΜΗ ΙΔΟΝΤΙ, λέγεις δηλονότι, s. l. L.

26. ΣΧΟΛ. ΠΑΛ. [ΕΡΠΗΙΝ ΩΡΑ Κ' ΕΙΗ. Ὥρα ἂν εἴη,

---

(1) εἴδες M.

Digitized by Google

ΠΡΑΞΙΝΟΗ.

Εὐνόα, ἆρε τὸ νᾶμα, καὶ ἐς μέσον, αἰνόθρυπτε,
Θὲς πάλιν. αἱ γαλέαι μαλακῶς χρήσδοντι καθεύδεν.
Κινεῦ δή, φέρε θᾶσσον· ὕδωρ· ὕδατος πρότερον δεῖ.

V. 27. αἶρε M. — αἰνόδρυπτε a, k, Tolet. Junt. οἰνόδρυπτε Vat. 8, G. Y.

V. 28. γαλεαὶ G. Y. — χρήσδοντι sic cum p, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. χρήζοντι quod A. D. F. K. Y, Reisk. Harles. — καθεύδεν sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. καθεύδην quod A. D. O. Z, Reisk. Harles. καθευδεῖν w.

V. 29. θᾶσσον φέρε ὕδ. p, C.

φησί, πορεύεσθαι, ἤγουν καιρός ἐστι πορευθῆναι ἡμᾶς. τοῖς ἀργοῖς γὰρ ἀεὶ ἑορτή ἐστιν, ἤτοι οἱ ἀργοὶ καθήμενοι, πρὸς τὰς ἑορτὰς ἀεὶ πορεύονται. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΕΟΡΤΑ, πάρεςιν, ἀλλὰ παρέρχεται δηλονότι, s. l. E.

27. ΣΧΟΛ. ΠΑΛ. Ἡ Πραξινόα φησὶ πρὸς τὴν δούλην ἐν ἤθει· ὦ Εὐνόα, ἄρασα [1] τὸ νᾶμα, εἰς μέσον θὲς αὐτό. θέλει εἰπεῖν, μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΡΕ, λάβε, s. l. E. ΤΟ ΝΑΜΑ, τὸ ὕδωρ, s. l. E. M. ΑΙΝΟΘΡΥΠΤΕ, κενόδοξε, ἐπὶ κακοῖς, s. l. M.

28. ΣΧΟΛ. ΠΑΛ. [ΤΡΙΚΑΙΝΙΟΥ. Παροιμιωδῶς τοῦτό φησι, καὶ αἱ γαλέαι μαλακῶς χρήζουσι καθεύδειν καὶ ἀναπαύεσθαι. καὶ μὴ εὑρίσκουσαι τοῦτο, κινοῦνται καὶ τὰ πρὸς ζωὴν πορίζονται. κινοῦ δὴ καὶ σύ, Εὐνόα, καὶ μὴ ἀεὶ μαλακῶς θέλε καθεῖσθαι. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΓΑΛΕΑΙ, ἰχθύες, s. l. M.

29. ΣΧΟΛ. ΝΕΩΤ. ΚΙΝΕΥ, ἐλθέ, κινοῦ, s. l. M. κινοῦ πρὸς τὸ ἔργον, s. l. E. ΘΑΣΣΟΝ, τάχιον, s. l. E. ταχέως, s. l. M. ΔΕΙ, χρεία ἐςὶν ἡμῖν, s. l. E.

---

(1) τὸ ὕδωρ ὡς καὶ πρώην, s. μ. αὐτὸ θές. M.

Digitized by Google

Ἄδ' ὡς νᾶμα φέρει· δὸς ὅμως· μὴ πουλύ, ἄπληστε, 30
Ἔγχει ὕδωρ· δύστανε, τί μευ τὰ χιτώνιον ἄρδας;
Παῦσαι. ὁκοῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάφναχος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα

V. 30. ἄδ' ἐς a, h, k, s, Vat. 8, C. D. L. P. sic F in quo corr. ἄδε. ἄδ' εἰς d, e, x, Stop. ἄιδ' ἐς c, w, M. ἀδ' ἐς ὕδωρ p. ἄδδες Vat. 9, Y. ἄιδες K. ἄδ' ἐς E. ἀδεῖ' ἐς G. ἄδ' ὡς Ott. — νάμα φερη sic Vat. ap. Sanctam. — μὴ δὲ πολὺ a, g, p, Vat. 10. μηδὲ πολὺ w, C. L. P. μὴ δὴ πολὺ k.

V. 31. ὕδωρ φέρει δύστανε p. — μοι p. — ἄρδεις M. Y. ἄρδης a, g, Vat. 10. ἀρδεῖς A. D. O. Z.

V. 32. παύσεο χοῖα c. παύσεο. χ' οἷα K. M. παύεο χοῖα p, w. παῦε k, Vat. 8, 9, G. Y. παῦεν Vat. ap. Sanctam. παύεο s, C. παυσ' Vat. 10. — ὁκοῖα sic cum E. G. Y, edd. omnibus. ὁποια d, e, l, x. ὁποῖα Ott. Med. Valck. Gaisf. ὁκοῖα et corr. ὁποῖα F. οἷα C. — θεοῖς om. G. — ἐδόκει n, p, r, w. — ταῦτα a, Vat. 10. ταύτη γε d, l, x, Ott. A. D. N. O, Stop. Med. ταῦτα γ' e. τοσαῦτα Vat. — ἐνένιμμαι e. νένυγμαι Vat. 10.

V. 33. κλὰγξ a, k. — τῆς μεγάλης p, w. — πῇ p, Y. — λάφνης P. λάφναχος F. voc, om, p. — αὐτήν p, Y.

V. 34. μάλα τὴν Brunck. — τὸ om Z, Ald. — καταπυχὲς A. — ἐμπερόνευμα g. ἐμπερόνημα Y.

---

30. ΣΧΟΛ. ΝΕΩΤ. ΑΔ' ΩΣ ΝΑΜΑ, ἀντὶ τοῦ ἴδε εἰς ποῖον ἀγγεῖον βαλοῦσα τὸ ὕδωρ, φέρει ἐμοί, s. l. E. M. N.

31. ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΔΕΙΣ, ἤγουν βρέχεις, s. l. M. καταβρέχεις, s. l. E. N.

32. ΣΧΟΛ. ΠΑΛ. ΟΚΟΙΑ ΘΕΟΙΣ ΕΔΟΚΕΙ. Ἀντὶ τοῦ εἴτε καλῶς, εἴτε κακῶς. ΚΛΑΞ δὲ ἡ κλεῖς δωρικῶς. — ΣΧΟΛ. ΝΕΩΤ. ΝΕΝΙΜΜΑΙ, ἐνιψάμην, s. l. M.

33. ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΡΝΑΚΟΣ, τοῦ κιβωτίου, s. l. M.

34. ΣΧΟΛ. ΠΑΛ. ΚΑΤΑΠΤΥΧΕΣ. Τὸ δίπτυχον ἐμπερό-

Digitized by Google

Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ; 35

ΠΡΑΞΙΝΟΗ.

Μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
Ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν προτέθηκα.

V. 35. τοῦ τρέπη (sic) Vat. 10. τῆνο π. Brunck. πρέπη a, Vat. 5. πρέπει σοι L. P. — πόσω F. πόση P. — κατάβα w.

V. 36. γοργώ c, h, k, w, Vat. 5, 10, K. L. M. P. — ἀργυρίου p, w. — καθαρᾶν a, d, e, g, h, l, n, r, x, w, Ott. Vat. 5, A. D. E. F. L. N. O. P. Z, Ald. καθαρεῦ p. καθάρου Junt. καθαρῶν Vat. 10, G.

V. 37. ἢ om. L. — καὶ δύο Y. — τὴν ψυχὴν p. — προτέθεικα c, g, h, p, s, Vat. 5, G. K. L. M. Y, Junt. προτέθηκα A. C. D. E. F. N. O. Z, Kiessl. Brunck.

νημα καὶ διπλοῦν. λέγει δὲ τὴν [1] διπλοΐδα, ἣν [2] Ὅμηρός φησι δίπλακα, μαρμαρέην. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΤΑΠΤΥΧΕΣ, τὸ διπλοῦν ἔνδυμα, s. l. M. τὸ δεδιπλωμένον, s. l. E. N.

35. ΣΧΟΛ. ΠΑΛ. ΠΟΣΣΩ. [3] Ἤγουν, διὰ πόσης ἐξόδου σοι κέκοπται ἀπὸ τοῦ ἱστοῦ· ἢ διὰ πόσου [4] σοι ἀπὸ τοῦ ἱστοῦ καθηρέθη, καὶ οἷον [5] ἐξυφάνθη; — ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΣΣΩ, πόσσου τιμήματος, s. l. M. διὰ πόσου ἀργυρίου, s. l. E. N. ΚΑΤΕΒΑ, κατέβη, ἦλθε, s. l. M. ἤγουν ἐξωνήθη, s. l. E. N.

36. ΣΧΟΛ. ΠΑΛ. Πλέον ἠνάλωσα, φησίν, ἢ δυοῖν μνᾶν καθαροῦ ἀργυρίου. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΝΑΣΗΣ, ἀναμνήσῃς ἐμέ, s. l. E. N. ἐξετάσῃς, μνησθῇς, s. l. M. ΜΝΑΝ, λίτραν, s. l. M.

37. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΙΣ Δ' ΕΡΓΟΙΣ, τοῖς τεχνίταις,

---

(1) διπλοΐδα, ἀπὸ τοῦ περιπτύσσεσθαι, καὶ οἷον διπλοῦσθαι M. — (2) Il. 3, 126. — (3) ἢ δ. π. ἐ. κέκοπται ἀ. τ. ἱ. τὸ ἱμάτιον M. — (4) σοι χρόνου M. — (5) ἐξυφάνθη καὶ ἐτμήθη τοῦ ἱστοῦ. M. καὶ οἷον ἐξυφ. habet Valcken. ad Adoniaz. p. 339, C. De vocab. ἔξοδος conf. Hemsterhus. ad Aristoph. Plut. p. 111. *Kiessl.*

Digitized by Google

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι.

ΠΡΑΞΙΝΟΗ.

Ναί· καλὸν εἶπας.

Τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν. κατὰ κόσμον
Ἀμφίθες. οὐκ ἀξῶ τυ, τέκνον· μορμώ, δάκνει ἵππος. 40

V. 38. γνώμην G. — ἀπέβα v, w, L. ἐπέβα p, Vat. ἀπέφα G. — τοι om. Y. — ναὶ καλὸν sic vulgo cum A. D. N. O. Z, Reisk. Harles. Dahl. Kiessl. τοῦτο καλὸν εἶπες a, h, p, Vat. 5, C. E. F. τοῦτο κἄειπας k. τοῦτο κἄπειπες c. τοῦτο κ' ἄειπες K. L. M. τ. κἀ εἶπας P. τοῦτο κἄ εἶπες w. τουτὶ καλὸν Vat. 8, G. Y. τουτὶ δὲ καλὸν Vat. 9. τοῦτο καλ' εἶπας Vat. 4. τοῦ τόκα εἶπες Junt. ναὶ καλόν· εἶα Brunck. πᾷ ποκ' ἔλειπες Valck. Gaisf. — Personæ nomen, ΓΟΡΓΩ, ante hunc versum om. Z.

V. 39. τὠμπεχόνον p, G. — τὴν p. — θαλίαν Vat. ap. Sanctam. Y.

V. 40. ἀμφίες P. — ἀξιῶ p. — δακνοὶ P. — ἵππον p. ἵπποι P.

ἀπὸ τοῦ ποιηθέντος τὸ ποιῆσαν, s. l. M. ΠΡΟΤΕΘΕΙΚΑ, προέδωκα, s. l. E. M.

38. ΣΧΟΛ. ΠΑΛ. ΚΑΛΟΝ. Τοῦτο ἀληθὲς εἶπας, λέγει ἡ Πραξινόα, ὅτι κατὰ γνώμην μοι ἐξυφάνθη. εἶτα [1] ἀντιστρέφει τὸν λόγον πρὸς τὴν θεράπαιναν καί φησι· φέρε μοι τὸ ἀμπέχονον καὶ τὴν ΘΟΛΙΑΝ, ἤγουν τὸ σκιάδιον, τὸν πέτασον, εὐκόσμως ἐπίθες. εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδιον [2] σκίρον καλοῦσι. [Δωριεῖς δὲ Θολίαν. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΤΑ ΓΝΩΜΑΝ, κατὰ γνώμην, ἤγουν ὡς ἐβούλου, s. l. E. M. ΑΠΕΒΑ, ἀπέβη, ἐγένετο, s. l. M.

39. ΣΧΟΛ. ΝΕΩΤ. ΤΩΜΠΕΧΟΝΟΝ, ἱμάτιον, ἔνδυμα, s. l. M.

40. ΣΧΟΛ. ΠΑΛ. ΤΕΚΝΟΝ. Ἀπέστρεψε τὸν λόγον πρὸς

---

(1) ἀνάστρέφει M. — (2) Sic Valcken. ad Adoniaz. p. 343, B, correxit vulgatum σκίῤῥον. *Kiessl.*

Digitized by Google

Δάκρυ' ὅσσ' ἐθέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
Ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
Τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.

V. 41. δάκρυ' Gaisf. Kiessl. — ὅσσα θέλεις sic vulgo cum A. C. D. E. F. K. L. M. N. O. Z, Reisk. Harles. ὅσσ' ἐθέλεις s, Vat. 6, Y, Brunck. Valck. Gaisf. Kiessl. — χολὸν A.

V. 42. ἕρπομες F. — τὸ μικκὸν G. — παῖσδε, σ ab alia manu intrusum, w. παῖδα N. παῖδα k. παῖσδα Brunck. — λαβοῖσα N. λαβοῦσα p.

V. 43. αὐλίαν p. — ἀπόκλασον P.

τὸ παιδίον τὸ κλαῖον, [1] καί φησιν, οὐκ ἄξω σε, τέκνον, μετ' ἐμοῦ, ὅτι ἡ μορμὼ ἵππος δάκνει. εἰς κατάπληξιν τοῦτο [2] ἔλεγον, ὅθεν καὶ τὰ προςωπεῖα μορμολύκεια ἔλεγον. — ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΚ ΑΞΩ, κομίσω μετ' ἐμοῦ, s. l. M. ΜΟΡΜΩ, ἤγουν φεῦ, s. l. M.

41. ΣΧΟΛ. ΝΕΩΤ. ΔΑΚΡΥΕ, κλαῖε, s. l. M. ΧΩΛΟΝ, κρουσθὲν ὑπὸ ἵππου, s. l. M. ΓΕΝΕΣΘΑΙ, ὑπὸ τοῦ κλαυθμοῦ, s. l. E. N.

42. ΣΧΟΛ. ΝΕΩΤ. ἙΡΠΩΜΕΣ, ἕρπωμεν, πορευσόμεθα, s. l. M. ἀπερχώμεθα, s. l. E. N. ΦΡΥΓΙΑ, δούλη ἐκ Φρυγίας, s. l. M. ΜΙΚΚΟΝ, τὸν μικρόν, s. l. E. M. ΠΑΙΣΔΕ, παῖζε, s. l. E.

43. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΛΕΙΑΝ, τὴν τῆς αὐλῆς θύραν, s. l. E. N. τὴν αὐλὴν ἢ τὴν πύλην, s. l. M. ΑΠΟΚΛΑΞΟΝ, κλεῖσον, s. l. E. M.

---

(1) Hæc e cod. Laur. 46, ita supplenda sunt: καί φησι, Μορμώ, δάκνει ἵππος. Εἰς κατάπληξιν etc. ΜΟΡΜΩ. Λαμεία βασίλισσα Λαιστρυγόνων, ἡ μὲν Γελὼ λεγομένη, δυστυχοῦσα περὶ τὰ ἑαυτῆς τέκνα ὡς ἀποθνήσκοντα, ἤθελε καὶ τὰ λειπόμενα φονεύειν. *Kiessl.* Hæc M, nisi quod μορμώ δὲ .et καὶ Γελὼ. *Gail.* γάρ φησιν M, Salv. — (2) ἔταττον M, Salv,

Digitized by Google

Ὦ θεοί, ὅσσος ὄχλος! πῶς καὶ πόκα τοῦτο περᾶσαι
Χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι. 45
Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα.
Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών, οὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί·

V. 44. ὅσος F. — περασαι p. περᾶσσαι A. περῆσαι K. πρᾶσαι O.

V. 45. ἀνάριθμοι sic cum a, c, g, h, k, p, s, w, Vat. 5, 10, M, Valck. Brunck. Winterton. Gaisf. Kiessl. pro vulgat. ἀνήριθμοι quod A. G. Z, vett. edd. Reisk Harles. — Versum om. Y.

V. 46. πολλάκι ποι G. — Versum om. Y.

V. 47. ἐξ ὧν h, p, Vat. 6, 8, G. ἐξ ὧ et corr. ἐξ ὧν F.

V. 48. δηλεῖται p, Y. — τὸν παριόντα p, C.

---

44. ΣΧΟΛ. ΝΕΩΤ. Ω ΘΕΟΙ, τῆς ὁδοῦ ἁψαμένη τοῦτό λέγει, s. l. M. ΠΟΚΑ, πότε, s. l. N. ΠΕΡΑΣΑΙ, διελθεῖν, s. l. M.

45. ΣΧΟΛ. ΝΕΩΤ. ΧΡΗ ΤΟ ΚΑΚΟΝ, ἤγουν τὸ πλῆθος τῶν ἀνδρῶν, s. l. E. ΑΜΕΤΡΟΙ, ἀμέτρητοι, s. l. E. N.

46. ΣΧΟΛ. ΠΑΛ. Πολλά τοι, ὦ Πτολεμαῖε (τὸν Φιλάδελφον λέγει) ἐποιήθησαν καλὰ ἔργα.

47. ΣΧΟΛ. ΠΑΛ. Ἐξ οὗ ὁ πατήρ σου ἀπεθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΘΑΝΑΤΟΙΣ, τουτέστιν ἀείμνηστος ἔσται, s. l. E. N. Ὁ ΤΕΚΩΝ, σὲ δηλονότι, s. l. E. ΚΑΚΟΕΡΓΟΣ, κακοῦργος, s. l. E.

48. ΣΧΟΛ. ΠΑΛ. ΔΑΛΕΙΤΑΙ ἀντὶ τοῦ βλάπτει. ΠΑΡΕΡΠΩΝ. παρασυρόμενος Αἰγυπτιστὶ τὸ πᾶν· σὺν τοῖς ἄλλοις σου καλοῖς ἔργοις καὶ τοῦτο. οὐκέτι γὰρ κακοῦργος λυμαίνεται τὸν παριόντα, ἐξαπατήσας Αἰγυπτιστί. [1] ἠπάτων γὰρ πολυ-

---

(1) ἐπὶ πάντα γὰρ πολυπείρως παίζοντες, παραλογισμοῖς Αἰγύπτιοι

Digitized by Google

Οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
Ἀλλάλοις ὁμαλοὶ κακὰ παίγνια, πάντες ἐρειοί. 50

V. 49. οἷα Ott. — πρῖο p. — ἐξαπάτας D. G. K. ἐξ ἀπάτης Y. — κεκροτημένοι p, w, Y. κεκρατημένοι E. κεκραταμένοι N.

V. 50. ἀλλήλοις p, Y. — κατὰ pro κακὰ E et F, in quo s. l. κακὰ. — ἐρειοί vulgo D. F, Reisk. Harles. Valck. Gaisf. Kiessl. ἐρείοι n, r. ἐριοί a, c, e, k, p, s, w; Vat. 9, G. K. L. M. Y.

πείρως παίζοντες κακὰ παίγνια παραλογισμοῖς αἰγυπτιακοῖς. ἀπατηλοὶ γὰρ καὶ Αἰγύπτιοι. [ὡς λέγει ὁ Αἰσχύλος· Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.] ΚΕΚΡΟΤΗΜΕΝΟΙ δὲ, διερραπισμένοι, ἐθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κεκεντρωμένων χαλκῶν. [Κεκροτημένοι· ἀντὶ τοῦ ἐρραπισμένοι, ἐθάδες πανούργων ἔργων.[1] ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. καὶ Σοφοκλῆς· πάνσοφον κρότημα, Λαέρτου γόνος.] — ΣΧΟΛ. ΝΕΩΤ. ΙΟΝΤΑ, τὸν διερχόμενον, s. l. E. N. ΠΑΡΕΡΠΩΝ, βαδίζων, παρεπόμενος αὐτοῦ, s. l. M. ΑΙΓΥΠΤΙΣΤΙ, εἰς τὴν Αἴγυπτον, ἢ μετὰ μηχανῆς τινός, s. l. M. κατὰ τὴν Αἴγυπτον, s. l. E. N.

49. ΣΧΟΛ. ΝΕΩΤ. ΕΞ ΑΠΑΤΑΣ, ἤγουν ἠπατημένοι ἢ ἀπατῶντες ἑτέρους, s. l. E. ΚΕΚΡΟΤΗΜ. ᾀδόμενοι, s. l. M.

50. ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΛΑΛΟΙΣ, ἤγουν πρὸς ἀλλήλους ἐξισάζοντες, συμφωνοῦντες ἐν τῷ παίζειν, s. l. E. N. ΕΡΕΙΟΙ, εἰς μίαν βουλὴν ὄντες, s. l. M. μεγαλοπρεπεῖς, ἔνδοξοι, s. l. E. N.

χρῶνται. M. ἐ. π. γ. π. π. Κακὸν παιδίον περὶ λογισμοῖς Αἰγυπτιακοῖς Salv.

(1) Confer. de hoc additamento Wartoni e cod. Laur. Valckenarium ad Adoniaz. p. 356, A, B.

Digitized by Google

Ἀδῖτα Γοργοῖ, τί γενοίμεθα; τοὶ πτολεμισταὶ
Ἵππα τῶ βασιλῆος! ἄνερ φίλε, μή με πατήσῃς.
Ὀρθὸς ἀνέστα ὁ πυῤῥός· ἴδ' ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
Ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἐνδοῖ. 55

V. 51. γενώμεθα Gaisf. Kiessl. — πολεμισταὶ k. πολεμίκται Brunck. Dahl.

V. 52. πατήσεις c.

V. 53. ἀνέσταν g, Vat. 4, P. — ὁ om. p. χ' ὁ h, F. κ' ὁ E. — πυῤῥός A. C. D. E. F. N. Y. Z, Reisk. Harles. — ἴδ' ὁ K. εἴδ' pro ἴδ' Y. — ἄγρικος g. post ἄγριος punctum ponunt Reisk. Valck. Brunck. — κυνοθρασὺς p. κυνθαρσὴς K.

V. 54. φθεγξῇ a. interrogationis signum deest in p. — διαχρήσηται a, Vat. 5.

V. 55. ὠνάσθην l, p, A. ὠνήμαν Brunck. in 2ª ed. — μεγάλος A. — μου p, C. — μένοι P. — ἐνδοῖ sic cum Valck. Gaisf. Kiessl. pro vulgat. ἔνδον quod n, p, r, w, A. D. F. L. O. P. Y.

---

51. ΣΧΟΛ. ΠΑΛ. Ὦ γλυκεῖά μοι Γοργώ, τί ἄρα ἡμῖν ἔσται; εὐλαβοῦνται γὰρ θεασάμεναι τοὺς πολεμικοὺς ἵππους πομπεύοντας. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΤΟΛΕΜΙΣΤΑΙ, οἱ τῦ Πτολεμαίου, s. l. E.

52. ΣΧΟΛ. ΝΕΩΤ. ΒΑΣΙΛΗΟΣ, παραθέουσιν, s. l. E. τοῦ βασιλέως εἰσὶν οὗτοι, s. l. M. ΑΝΕΡ ΦΙΛΕ, τοῦτο πρός τινα τῶν ἐπιβεβηκότων τοῖς ἵπποις, s. l. M.

53. ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΕΣΤΑ, ἄνω τοὺς πόδας ἐξῆρεν, s. l. M. ΠΥΡΡΟΣ, ὁ ξανθὸς ἵππος, s. l. M. ΚΥΝΟΘΑΡΣΗΣ, λεπτὸς, θαῤῥαλαῖος (sic), s. l. M. θράσος κυνὸς ἔχων, s. l. E.

54. ΣΧΟΛ. ΠΑΛ. ΔΙΑΧΡΗΣΕΙΤΑΙ ΤΟΝ ΑΓΟΝΤΑ. Διαφθερεῖ τὸν ἱπποκόμον, ἢ τὸν ἡνίοχον. — ΣΧΟΛ. ΝΕΩΤ. ΟΥ ΦΕΥΞΗι, μὴ συμπατηθῇς ὑπὸ τοῦ ἵππου, s. l. E. N. ΔΙΑΧΡΗΣΕΙΤΑΙ, φονεύσει, s. l. E. N.

Digitized by Google

ΓΟΡΓΩ.

Θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν·
Τοὶ δ' ἔβαν ἐς χώραν.

ΠΡΑΞΙΝΟΗ.

Καὐτὰ συναγείρομαι ἤδη.
Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω

V. 56. θάρση Vat. 10. — γενοίμεθ' Vat. 5. — ὄπισθε p. ὄπισθεν, et s. l. ὄπισθεν, A. — Hæc usque ad v. 60, ubi loquitur Gorgo, Eunoæ tribuuntur in p, L. P.

V. 57. χῶρον c, p, C. K. M. — κάτα Vat. 10. καὶ τὰ L. P. — συναγειρόμενα P. — ante καὐτὰ personæ nomen (ΠΡΑΞΙΝΟΗ) deest in Y et nonnullis Vatt. ubi omnia usque ad v. 60 Gorgoni tribuuntur. post hunc v. inseritur v. 75 in Vat. 10.

V. 58. καὶ ψύχρον γε h, E. F. P. — τὰ μάλιστα F.

---

57. ΣΧΟΛ. ΠΑΛ. Οἱ δὲ ἵπποι κεχωρήκασιν εἰς ὃν ἔδει τόπον. τὸ δὲ ΚΑΥΤΑ ΣΥΝΑΓΕΙΡΟΜΑΙ, ἀντὶ τοῦ ἀναχτῶμαι ἐμαυτὴν ἀπὸ τῆς ταραχῆς [καὶ τοῦ φόβου. M. P.]. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΒΑΝ, οἱ ἵπποι ἔδησαν, s. l. M. ΕΙΣ ΧΩΡΑΝ, κατὰ τὴν τάξιν αὐτῶν, s. l. E. εἰς τὴν τάξιν αὐτῶν, s. l. N. ΚΑΥΤΑ, καὶ ἐγώ, s. l. E. ΣΥΝΑΓΕΙΡΟΜΑΙ, συνάγω εἰς ἐμαυτὴν τὸν νοῦν, s. l. E. ἤγουν φέρω τὸν νοῦν μου εἰς ἐμαυτόν, s. l. M.

58. ΣΧΟΛ. ΠΑΛ. ΨΥΧΡΟΝ. Ἤγουν τὸν ψυχροποιόν. — ΣΧΟΛ. ΝΕΩΤ. ΨΥΧΡΟΝ, ἤγουν [1] ἰοβόλον· ψυχρότητος γὰρ ποιητικὸς ὁ ἰὸς τοῦ ὄφεως, s. l. E. ΔΕΔΟΙΚΩ, πεφόβημαι, s. l. M.

---

(1) ἰ. ψυχρότατος γ. ποιητικῶς ὁ ἰ. τ. ὄ. N.

Digitized by Google

Ἐκ παιδός. σπεύδωμες· ὅσος ὄχλος ἄμμιν ἰπῤῥεῖ!

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς, ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγών, τέκνα.

ΓΟΡΓΩ.

εἶτα παρενθεῖν 60

V. 59. σπεύδομες G. σπεύδωμεν w. σπεύθωμες Ald. Call. vett. edd. Reisk. σπεύδωμες primus Steph. ex Junt. — ὅσος ὄχλος sic vulgo cum c, d, e, h, l, s, w, x, Vat. 9, Ott. L. M. Y, Ald. Call. Med. Reisk. Harles. Brunck. Valck. Kiessl. ὅσσος a, g, Vat P. ὄχλος πολὺς c, Junt. Steph. unde in recentiores quasdam edd. venit, Gaisf. ὅσος γ' ὄχ. K.

V. 60. ἐξ' αυδᾶς k. — ἐγὼ Z, Ott. — post ἐγὼν, ὦ om. c, s, w, G. K. M. Y, Call. Brunck. Kiessl. — εἶτα παρελθεῖν a, g, s, w, Vat. 5, 8, 9, M. Y. εἶτα παρενθεῖν E. G. K. L. P, Brunck. εἶτα παρενθῆν Kiessl. hæc Praxinoæ tribuuntur in p.

---

59. ΣΧΟΛ. ΝΕΩΤ. ΕΚ ΠΑΙΔΟΣ, ἐκ παιδικῆς ἡλικίας, s. l. E. N. ΕΠΙΡΡΕΙ, ἐπέρχεται, s. l. M. δίκην ῥευμάτων συχνὸς ἐπέρχεται, s. l. E. δίκην ῥευμάτων ἐπιχεῖται, s. l. N.

60. ΣΧΟΛ. ΠΑΛ. ΕΞ ΑΥΛΑΣ. Ἔν τισι γράφεται καὶ Ἐξ αὐλᾶς, ὦ μᾶτερ; ἡ Γοργὼ φησι πρὸς γραῦν τινά· λέγε ἡμῖν, ὦ μῆτερ, εὐμαρὲς εἰςελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰςελεύσεσθε εἰς τὴν τῶν βασιλείων αὐλήν. [ἡ Γοργὼ φησι πρός τινα πρεσβύτιν ὡς ἐκ τῆς αὐλῆς καὶ τῶν βασιλείων ἐχομένως ἐρχομένην· ἆρα, ὦ μῆτερ, ἔςιν ἡμῖν εὐκόλως εἰςελθεῖν ἐν τῇ αὐλῇ; ἡ δέ φησι, πειράθητε καὶ εἰςελεύσεσθε. καὶ Ἀχαιοὶ γὰρ πειρώμενοι εἰςῆλθον εἰς Τροίαν· τῇ πείρᾳ γὰρ δὴ πάντα τελεῖται. M.] — ΣΧΟΛ. ΝΕΩΤ. Ω ΜΑΤΕΡ, ἔξελθε δηλονότι, s. l. E. ΕΓΩΝ Ω ΤΕΚΝΑ, ἐξῆλθον δηλονότι, s. l. E. ΠΑΡΕΝΘΕΙΝ, διὰ τοσούτου πλήθους, s. l. E. εἴσω ἐλθεῖν, s. l. M.

Digitized by Google

Εὐμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἤνθον Ἀχαιοί.
Καλλίστα παίδων, πείρᾳ θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

V. 61. Τροίαν sic cum c, g, k, p, s, w, Vat. 8, 9, M, Winterton. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. Τροίην quod A. Z, Reisk. Harles. — πειρόμενοι G. — ἤνθον a, d, k, Vat. 10, Winterton. Brunck. Valck. Reisk. Harles. Gaisf. Kiessl. pro vulgat. ἦλθον quod A. F. Y. Z, Ott.

V. 62. κάλλισταν A. καλλίσταν L. P. κάλλιστε p, C. κάλλιστα Ott. G. κάλλισται O. κάλλιστοι, et suprascr. κάλλισται, D. — παιδᾶν p, s, Vat. 8, 9, C. Y, Brunck. παίδαν G. — πείρᾳ A. C. D. F. G. Y. Z, Reisk. Harles. Gaisf. Kiessl. πειράνθην w. πειράθην L. P, πείρῃ Valck. cum Casaub. — δὴ pro θὴν p, C.

V. 63. In nonnullis Vatt. personæ nomen deest ante hunc versum.

---

61. ΣΧΟΛ. ΝΕΩΤ. ΕΥΜΑΡΕΣ, εὐχερές, s. l. E.

62. ΣΧΟΛ. ΠΑΛ. Ἡ Γοργώ φησιν, ὅτι χρησμοὺς ἀποφοιβάσασα ἡ γραῦς ἀπῆλθε. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΙΔΩΝ, ἀπὸ τῶν ἐμῶν, s. l. E. ΠΕΙΡΑι, διὰ πείρας, s. l. E. ΘΗΝ, δή, γάρ, s. l. M. ΤΕΛΕΙΤΑΙ, πληροῦται, s. l. M. κατορθοῦται. s. l. E.

63. ΣΧΟΛ. ΝΕΩΤ. ΧΡΗΣΜΩΣ, χρησμούς, μαντείας ἢ αἰνίγματα, s. l. M. θείους λόγους, s. l. E. ΑΠΩΙΧΕΤΟ, ἀπῆλθε, s. l. M. ΘΕΣΠΙΞ. μαντευσαμένη, εἰποῦσα, s. l. M. θείως εἰποῦσα, s. l. N.

Digitized by Google

ΠΡΑΞΙΝΟΗ.

Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν.

V. 64. ἀγάγεθ' Ἥραν h, k, p. ἠγάγεθ' A. D. L. N. Y. Z. ἤγαγε θ' G. O. — Ἥραν sic cum h, k, p, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. Ἥρην quod A. D. G. L. N. O. Y. Z, Reisk. Harles. — Hunc versum cum p, Brunck. Valck. Gaisf. Kiessl. Praxinoæ tribuimus.

---

64. Σχολ. ΠΑΛ. Φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅτι ὁ Ζεὺς λάθρα τῇ Ἥρᾳ συνῆλθε. καὶ [1] Ὅμηρος· Εἰς εὐνὴν φοιτῶντε φίλους ἐλάθοντο τοκῆας. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῷ, [2] ἡ διατριβὴ περὶ τοῦ Διὸς καὶ τῆς Ἥρας γάμου. τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ [3] μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν [4] ἀπὸ τῶν ἄλλων θεῶν. [5] βουλόμενος δὲ ἀφανὴς γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα, καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν [6] Θρόναξ ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. [7] τὸν δὲ Δία χειμῶνα

---

(1) Il. ξ', 296. Ubi λήθοντε pro ἐλάθοντο. *Gail.* — (2) Cod. Laur. 46, pro vulgato ἰδιώτερον habet ἡ διατριβὴ ἱστορεῖ unde veram lectionem restituimus: *Aristoteles refert in templo Hermiones*, sive *tractatu de nuptiis Jovis et Junonis*. Ceterum Toupius pro ἱερῷ malit ἱερῶν· *in libro de Hermiones delubris*. Forsitan etiam Ἑρμιόνης mutandum in Ἥρας. *Kiessl.* — (3) Sic pro vulgato μιγνῦναι Cod. Paris. 2832, vid. Bastii Ep. crit. p. 200. *Kiessl.* sic etiam Salv. Can. Call. — (4) ἀπὸ om. M. — (5) βουλόμενον δὲ ἀφανῆ γ. κ. μ. ὀ. ὑ. α. μεταβάλλειν ἑαυτὸν εἰς κόκκυγα καὶ καθίσαι εἰς ὄρος ὃ πότε M. — (6) Θόρναξ *Hemsterh.* — (7) καὶ χειμῶνα δεινὸν ποιῆσαι κατὰ τὴν ἡμέραν ἐκείνην. τὴν δὲ Ἥραν τότε πορευομένην μ. ἀ. π. τ. ὄ. καὶ καθίσαι αὐτὴν ἐν τῷ τόπῳ ἐν ᾧ νῦν ἔστιν ἱ. Ἡ. τ. τὸν δὲ κόκκυγα ἰδόντα προσδραμεῖν καὶ καθίσαι ἐπὶ τοῖς γόνασιν αὐτῆς, πεφρικότα καὶ ῥιγῶντα τῇ τοῦ χειμῶνος σφοδρότητι, τὴν δὲ Ἥρην ἰδοῦσαν οἰκτεῖραι, καὶ π. αὐτὸν τ. ἀ. τὸν δὲ εὐθὺς μεταβαλλόμενον ἀπὸ τῆς τοῦ ὀρνέου μορφῆς ἐ. αὐτῆς. M.

Digitized by Google

ΓΟΡΓΩ.

Θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος. 65

ΠΡΑΞΙΝΟΗ.

Θεσπέσιος. Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τύ,

V. 65. παρὰ pro περὶ a, g, Vat. 5. — ὅσος p.

V. 66. γοργὼ g, k, s, w, Vat. 5, 8, 9, 10, G. L. M. P. Y. γοργεῖ A. — χύτραν pro χέρα p. — μεν pro μοι p. — λάβε G. M.

ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. τὴν δὲ Ἥραν πορευομένην μόνην, ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ' αὐτό, ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ῥιγῶντα καὶ πεφρικότα διὰ τὸν χειμῶνα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ γόνατα αὐτῆς. τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν [1] ὑποσχέσθαι γυναῖκα ταύτην [2] ποιήσασθαι. καὶ παρ' Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν· τὸ δὲ [3] ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ. — ΣΧΟΛ. ΝΕΩΤ. ΙΣΑΝΤΙ, ἴσασι, s. l. E. M. ΚΑΙ ΩΣ, καὶ ὅτι, s. l. E. πῶς, s. l. M. ΗΓΑΓΕΘ', ἔλαβε, s. l. M. ΗΡΗΝ, γυναῖκα, s. l. M.

65. ΣΧΟΛ. ΝΕΩΤ. ΟΜΙΔΟΣ, πλῆθος λαοῦ, s. l. E. N.

66. ΣΧΟΛ. ΝΕΩΤ. ΘΕΣΠΕΣ. μέγας, πολύς, s. l. M. N. ΛΑΒΕ, σὺ τὴν ἐμὴν δηλονότι, s. l. E.

---

(1) ὑποδέχεσθαι Can. Vulc. — (2) ποιῆσαι M. — (3) ἄγαλμα ταύτης ἐν θρ. κ. σ. φέρει ἐ. τ. χ. ἐν δὲ τῷ σκήπτρῳ κόκκυξ ἐπικάθηται. M.

Digitized by Google

Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ, μὴ τὺ πλανηθῇς.
Πᾶσαι ἁμ' ἰςένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
Ὦ μοι δειλαία, δίχα μευ τὸ θερίςτριον ἤδη
Ἔσχισται, Γοργοῖ. πὸτ τῶ Διός, εἴ τι γένοιο 70
Εὐδαίμων, ὦ ἄνθρωπε, φυλάσσεο τὼμπέχονόν μευ.

V. 67. αὐτά w, p, F. G. — μή τι h, l, x, Oit. A. C. D. E. F. G. L. O. P. Y, Med. Brunck. in altera ed. τοι πλανηθῇ a.

V. 68. εἰσένθομεν p. εἰσελθομεν w. — ἔχε G, k, Vat. 8, 9. — εὐνόα δμῶα k. δμῶϊς p. — ἁμέων Kiessl.

V. 69. οἴ μοι k, p. ὥς μοι G. — θέριστρον a, g. θεάστριον P.

V. 70. ἔσχιστο a, g. — γοργὼ a, k, s, w, Vat. 5, 9. G. L. P. Y. — πωττῶ A. πὸτ τῶ Reisk. Kiessl. — αἴ τι Brunck. Kiessl. εἴ τοι G. — γένοιτο a, g, Vat. 5.

V. 71. φυλάσσευ s, Vat. 8, Y. φυλάσσεω A. — τὸμπέχονόν L.

---

67. Σχολ. παλ. Εἰκὸς τὴν Εὐτυχίδα Γοργοῦς εἶναι θεράπαιναν. — Σχολ. νεωτ. Ευτυχ. ἑτέρας δούλης, s. l. M. ὄνομα δούλης, s. l. E. Ποτεχ', πρόςεχε, s. l. M. προςέχου, s. l. N. προςεκτικῶς ἔχου, s. l. E. Πλανηθῆις, ἐξ ἡμῶν, s. l. E. ἀφ' ἡμῶν, s. l. N.

68. Σχολ. παλ. Απριξ. Ἀντὶ τοῦ ἐμπεφυκότως, ὥςτε μὴ [1] διαπρίσαι τὴν συμφυΐαν. — Σχολ. νεωτ. Απριξ εχευ, διόλου ἀλλήλας κατέχουσαι, s. l. E. N.

69. Σχολ. νεωτ. Δειλαια, εἰμί, s. l. M. Διχα, εἰς δύο, s. l. E. M. N. Θεριςτριον, λεπτὸν ἱμάτιον, s. l. E. ἔνδυμα θερινὸν λεπτόν, s. l. M.

70. Σχολ. νεωτ. Ποτεω Δ. πρὸς τοῦ Διός, s. l. M. Ει τι, ὅπως, s. l. M.

71. Σχολ. νεωτ. Τωμπεχ. τὸ ἔνδυμά μου, s. l. M. τὸ ἱμάτιόν μου, s. l. E.

---

(1) Antea legebatur διαπρῆσαι, quod certatim mutarunt

Digitized by Google

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μέν· ὅμως δὲ φυλάξομαι.

ΠΡΑΞΙΝΟΗ.

Ἀθρόος ὄχλος·

Ὠθεῦνθ' ὥςπερ ὗες.

ΞΕΝΟΣ.

Θάρσει, γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΗ.

Κεῖς ὥρας, κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης,

V. 72. Ante οὐκ ἐπ' ἐ. exhibent ΑΝΗΡ L. P. — φυλαξοῦμαι c, d, e, h, l, x, Ott. A. F. N. O. Z, Med. Ald. Junt. Reisk. φυλαξεῦμαι D. — ὄχλος ἄθροος a, d, e, h, l, p, Ott. Ald. Med. ὄ. ἀθρόος A. C. D. F. N. O. P. Z. ὄ. ἀθρέως k. ὄ. ἀθρόως E. L.

V. 73. ὥςπερ ὗες k, p, Vat. L. P, Junt. Brunck. Valck. Harles. Gaisf. Kiessl. vulgo ὥστε ὗες quod Reisk. ὥστε ῥύες s, D E. F. G. M. N. O. Z, Ald. ὥςπερ ῥύες a, g, C. ῥύες c, d, e, h, l, w, x, Vat. 8, Med. — ἦμεν L. P. ἦμες G. ἡμὲς M. ὦμες p. εἴης Z. ἐν καλῶ ἦμεν w.

V. 74. οὐκ εἰς ὥ. x et D, in quo ου expunctum secunda manu. κεῖς p, Reisk. Gaisf. Harles. κῆς Valck. in altera ed. Kiessl. — φιλἄνδρὼν G.

---

72. ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΚ ΕΠ' ΕΜΙΝ, οὐκ ἐπ' ἐμοί ἐστὶ τοῦτο, s. l. M. τουτέστιν οὐκ ἐξ αἰτίας ἐμοῦ ἔσχισται τὸ ἱμάτιόν σου, s. l. E. ΑΘΡΟΟΣ, ὁμοῦ, s. l. M.

73. ΣΧΟΛ. ΝΕΩΤ. ΩΘΕΥΝΘ', φέρονται, s. l. M. ΡΥΕΣ, ῥύακες κατὰ ἀποκοπήν, s. l. E. N. ΕΝ ΚΑΛΩι ΕΙΜΕΣ, ἐν ἀδείᾳ ἐσμέν, s. l. N.

74. ΣΧΟΛ. ΠΑΛ. Ἀντὶ τοῦ, καὶ εἰς [1] ὥρας καὶ ἐςαεὶ

Reinesius, Stephanus in Thesauro, alii. Conf. Oudendorp. ad Thom. M. p. 107. *Kiessl.*

(1) τὰς νῦν ὥρας (quod rectius, ni fallor), φησί, καὶ ἀεὶ ἐν καλῷ ε. M. *Gail.*

Digitized by Google

Ἄμμε περιστέλλων. χρηστῶ κ' οἰκτίρμονος ἀνδρός! 75
Φλίβεται Εὐνόα ἄμμιν· ἄγ', ὦ δειλά, τὺ βιάσδευ.
Κάλλιστ'· ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

V. 75. περιτέλλων Vat. — χρηστοῦ A. Y. Z.

V. 76. φλίβεται a, Vat. 5 ap. Sanctam. Brunck. Valck. Gaisf. Kiessl. θλίβεται vulgo n, r, w, A. C. D. F. G. L. M. Y, Reisk. Harles. — ἄγ' om. C. ἄγων ὦ k. μετίσο ὦ p. — δειλαί P. — τι βιάζευ s, C. Y. βιάσδευ Brunck. Dahl. Kiessl.

V. 77. καλλίστους ἴδον p. — ἔνδον p, C. ἔνδοι G. εὐδοῖ Y. — ὅταν G. L. — εἴτ' pro εἶπ' L. — ἀποκλάξαι Ott.

καλῶς εἴης περιστέλλων καὶ τημελούμενος ἡμᾶν. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΕΙΣ ΩΡΑΣ, τὰς νῦν, s. l. M. εἰς τὸν μετὰ ταῦτα χρόνον, s. l. E. N. ΕΝ ΚΑΛΩι ΕΙΗΣ, ἤγουν εὐτυχείης, s. l. E. N.

75. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΜΕ, ἡμᾶς, s. l. E. M. ΠΕΡΙΣΤΕΛΛΩΝ, περιποιούμενος ἡμᾶς, s. l. M. καὶ περιέπων, s. l. E. N. ΧΡΗΣΤΟΥ, τοῦτο τὸ ἔργον δηλονότι, s. l. M. ἔργον ποιῶν δηλονότι, s. l. E. N.

76. ΣΧΟΛ. ΠΑΛ. Ἄγε, ὦ δειλαία, βιάζου, καὶ σὺ ὤθει, ὥςτέ σε εἰςελθεῖν. ἔπειτα εἰςελθούσης αὐτῆς φησί· κάλλιστα· ἐνδοῖ πᾶσαι. [ἤγουν καλῶς ἔχει ὅτι πᾶσαι ἔνδον ἐγενόμεθα. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΘΛΙΒΕΤΑΙ, στενοχωρεῖται, s. l. E. N. ΑΜΜΙΝ, σὺν ἡμῖν, s. l. E. M. N.

77. ΣΧΟΛ. ΠΑΛ. Ὁ ΤΑΝ. Ὡς παροιμίας οὔσης, ἀποκλείσας τὴν νύμφην τις, καλῶς τά γε ἔνδον ἡμῖν ἔχει, φησί, διὸ καὶ ἡ Γοργὼ οὕτως [1] ἐπεφώνησεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΛΛΙΣΤ', γέγονε δηλαδὴ πάντα, s. l. E. ΕΝΔΟΙ, ἔνδον ἐσμὲν πᾶσαι Ὁ ΤΑΝ ΝΥΟΝ. Παροιμία ἐστίν. εἴρηται δὲ ἀπό τινος νυμφίου λαβόντος τὴν νύμφην καὶ εἰςελθόντος εἰς τὸν

---

(1) Sic cum M, Salv. Gaisf. pro vulgat. ἐφρόνησεν. *Gail.* ἐπεφώνησεν, ἢ ἔργα ὑπὸ θεῶν, ἢ φορεῖσθαι ὑπὸ θεῶν ἄξια. M.

Digitized by Google

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΗ.

Πότνι' Αθαναία· ποῖαί σφ' ἐπόνασαν ἔριθοι; 80

V. 78. ὧδε Ott. — πάκιλα A. — πρῶτον p. πρᾶτος c. πρᾶττον A. — ἄθροισον Vat. 12. ἀθρὴς A.

V. 79. ὡς om. c, pro quo οἱ G. — περονεύματα p. περονόματι w. περ ὀνόματα G. — φυσῆς Vat. 5.

V. 80. ἀθαναία sic cum Brunck. Gaisf. Valck. Kiessl. pro vulgat. ἀθηναία quod A. D. Y. Z, Reisk. Harles. — σφ πόνασαν G. M. ἐπονάσαντο p.

θαλαμον καὶ κλείσαντος αὐτόν· τοῦτο γὰρ ποιήσας, τοῖς ἐκτὸς ἔφη· Κάλλιστα ἡμῖν πάντα. N. ΑΠΟΚΛΑΣ. ἀποκλείσας νυμφίος, s. l. M. ἀποκλείσας ἐν θαλάμῳ, s. l. E. N.

78. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΑΓ', προςέρχου, s. l. E. πρόςελθε, s. l. M. ΑΘΡΗΣΟΝ, ἰδέ, s. l. E.

79. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΙ ΩΣ, λίαν εἰσί, s. l. E. ΠΕΡΟΝΑΜΑΤΑ, ἀναθήματα, ἢ ἔργα, τὰ ἱμάτια, s. l. E. M. ΦΑΣΕΙΣ, ἐρεῖς ἰδοῦσα, s. l. E.

80. ΣΧΟΛ. ΠΑΛ. ΕΡΙΘΟΙ δὲ οἱ [1] ὑπουργοί· ἤγουν, [2] ἐριουργοί, ὑφάντριαι. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΦ' ΕΠΟΝΑΣΑΝ, ἐπόνησαν αὐτά, κατεσκεύασαν, s. l. M. εἰργάσαντο, s. l. E. ΕΡΙΘΟΙ, ἐριουργοὶ χεῖρες, s. l. E. N.

---

(1) Legendum, αἱ ἱστουργοί, ἤγουν ἐριουργοί. vide Valcken. ad Adoniaz. p. 378, B. et in Dissert. in Schol. Hom. ined. p. 124. Atque ἐριουργοί est in margine veterum editionum. *Kiessl.* — (2) Dedi ἐριουργοί, ὑφάντριαι ex M, cum Gaisf. pro vulgat. ἱερουργοί. *Gail.*

Digitized by Google

Ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
Ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι!
Ἔμψυχ', οὐκ ἐνυφαντά. σοφόν τι χρῆμ' ὤνθρωπος.
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέῳ κατάκειται
Κλισμῷ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων, 85

V. 81. ζωγράφοι a, k, p, w, Vat. 9, M. — τἀκριβὲς Ott.

V. 82. ἑστάκαντι sic cum h, p, w, M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἑστήκαντι quod A. Y. Z, Reisk. Harles. — ὡς om. p, C. — ἔτιμ' w. — ἐνδινεῦνται s, Vat. 9, Y. ἐνδινεῦτι p.

V. 83. οὔκεν ὑφαντά p, Y, Vat. — τοι pro τι L. — ἄνθρωπος p. ὤνθρωπος Valck. Gaisf. Kiessl.

V. 84. ὁ θαητὸς p. θηητὸς A. D. N. O. Z, Ald. θνητὸς Ott. G. — ἀργυρέου a. ἀργυρέης Vat. 9, G. Y. ἀργυρέας c, h, k, p, w, E. F. L. M. ἀργυρέῳ Steph. Valck. Harles. — ἐπ' ἀργυρέω-κλισμῶ cum genit. Callierg. Brunck. Reisk. Kiessl.

V. 85. κλισμω, ου sup. ω, M. κλίσμου Vat. κλισμοῦ h. κλισμῷ Steph. Valck. Harles. — πρῶτον p. τρᾶττον A. O. — ἰούλιον A. — κροτάφω h.

---

81. ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΚΡΙΒΕΑ, τὴν ἀκριβῆ ζωγραφίαν, s. l. E. N.

82. ΣΧΟΛ. ΠΑΛ. ΩΣ ΕΤΥΜ. Ἀντὶ τοῦ, ὡς ἀληθῶς ἑστήκασι, καὶ ὡς ζῶντα ἀληθῶς συστρέφονται, καὶ οὐκ ἐνυφαντά εἰσιν. — ΣΧΟΛ. ΝΕΩΤ. ΩΣ ΕΤΥΜ', ὡς ζῶντά εἰσι καὶ οὐχ ὑφαντά, s. l. M. ΕΣΤΑΚΑΝΤΙ, ἱςανται, s. l. M. ΕΝΔΙΝΕΥΝΤΙ, κινοῦνται, s. l. M. ἐνδινοῦσι, στρέφονται, s. l. E.

83. ΣΧΟΛ. ΝΕΩΤ. ΕΜΨΥΧ', δοκοῦσιν εἶναι, s. l. E. N.

84. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΤΟΣ, ὁ Ἄδωνις, s. l. M. ΘΑΗΤΟΣ, θαυμαστός; s. l. E. M. N.

85. ΣΧΟΛ. ΝΕΩΤ. ΚΛΙΣΜΩ, κλισμοῦ, κλίνης, s. l. M. ΙΟΥΛΟΝ, τὴν γένυν, s. l. M. ἄνθος γενείων, s. l. E. N. ΚΑΤΑΒΑΛΛΩΝ, ἐκφύων, s. l. M.

Digitized by Google

Ὁ τριφίλατος Ἄδωνις, ὁ κὴν Ἀχέροντι φιλεῖται.

ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι

V. 86. τριφίλητος p, Ott. A. F. G. O. Y. Z, Ald. — ὃς pro ὁ p, w. — κὴν w. — φιλῆται L.

V. 87. παύσασθε ὦ p. — δύστηνοι w. — ἀνήνυτα L. Y, Call. ἀνὰ νύκτα k. — κωτιλοῖσαι w. κοτιλοῖσαι L.

---

86. ΣΧΟΛ. ΠΑΛ. ΤΡΙΦΙΛΑΤΟΣ. Ὁ πολυφίλητος. ὡς καὶ παρ' Ὁμήρῳ· [1] Ἀσπασίη τρίλλιστος. ἢ ὅτι ὑπὸ τριῶν ἐφιλήθη, [2] Δηοῦς, Ἀφροδίτης, καὶ Περσεφόνης ἐν ᾄδου. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΦΙΛΑΤΟΣ. Ὥςπερ ἐπὶ τοῦ τρισμέγιστος, καὶ τρισκατάρατος, καὶ τρισαριστεύς, καὶ πολλῶν ἄλλων τοιούτων, τὸ τρὶς οὐχ ὡρισμένως ἀπὸ τοῦ τρία λέγεται, ἀλλ' ἀόριστον πλῆθος σημαίνει, οὕτω καὶ τὸ τριφίλητος, ἀντὶ τοῦ παμφίλτατος. Ε. ὁ παμφίλτατος, s. l. E. Ὁ, ὅςτις, s. l. E. ΑΧΕΡΟΝΤΙ, καὶ ἐν τῷ Ἅδῃ ὤν, ἤγουν τεθνεώς, s. l. E. ΦΙΛΕΙΤΑΙ, ἀγαπᾶται παρὰ πάντων, s. l. E.

87. ΣΧΟΛ. ΠΑΛ. [3] Παύσασθε, φησίν, ὦ ἐπίπονοι ἀνήνυτα καὶ ἄπειρα ΚΩΤΙΛΛΟΙΣΑΙ, ἤγουν πολυλογοῦσαι. κωτίλην γὰρ λέγουσι τὴν χελιδόνα. τοῦτο δέ φησί τις παρεπόμενος καὶ ἀγανακτῶν ἐπὶ τῇ ἄγαν αὐτῶν ἀδολεσχίᾳ. διὸ καὶ ἐπιτιμᾷ αὐταῖς, ὡς τὰ κατὰ μέρος τῶν εἰκόνων ἀνερευνώσαις· εἶτα πρὸς ἑαυτὸν ἐπιστρέφων. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΗΝΥΤΑ, ἀπλήρωτα, s. l. E. N. ΚΩΤΙΛΛ. φλυαροῦσαι, s. l. E. N.

---

(1) Il. Θ, 488, ubi legitur τρίλλιστος, quod cum M, Hemsterhus. et Gaisford. reposuimus pro vulgat. τριφίλητος. — (2) Διονύσου suspicatur Valcken. ad Adoniaz. p. 378, B. *Kiessl.* — cum M et Gaisford. dedimus Δηοῦς pro vulgat. Διὸς et in fine ᾄδου pro ᾄδῃ. — (3) π. φ. ὦ ἐ. ἀπειρολαλοῦσαι, εἶτα πρὸς ἑαυτὸν ἐπιστρέφεται καί φησι· τρυγόνων οὐ διαφέρουσι δωρίζουσαι πάντη· τὸ δὲ πλατ. τ. ε. πλατυστομοῦσαι, οἱ γὰρ Δ. τὸ α πλεονάζουσι. M.

Digitized by Google

Τρυγόνες· ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

ΓΟΡΓΩ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
Πασάμενος ἐπίτασσε· Συρακοσίαις ἐπιτάσσεις; 90

V. 88. τρυδόνες L. — ἐκναισεῦντι a, c, n, w, Vat. 10, M. Y. ἐν σκηναῖς εὖντι p, x. ἐκκναισσεῦντι A. ἐνσκηνεῦντι C. ἐκνεσεῦντι Vat. G. ἐκκνεστεῦντι L. — πλατειάσδοισαι c, k, p, w, x, Ott. A. L. M, edd. primæ. πλατυασδοῖσαι Vat. G. Y. πλατυγίσδοισαι Vat. 12. πλατυάσδοιζαι F. πλατεία δύσαι L. πλατειάσδοισαι Z, vett. nonnullæ edd. πλατυάσδοισαι Reisk. — εἰς ἅπαντα A.

V. 89. μά Vat. ap. Sanctam. πᾶ l. — ὤνθρωπος p. — τί δέ τ' εἰ κωτίλαι w, et M, qui κωτίλλαι. κωτίλλω p. κοτίλλαι G. — ἤμες w. ἡμές F. G. M. N. Y. — Hunc versum usque ad v. 96 Praxinoæ tribuunt p et Brunck.

V. 90. πανσάμενος p, Vat. G. πασσάμενος A. C. D. F. L. M. N. O. Y. Z, Reisk. σπασάμενος w. — ἐπίτασσαι A. ἐπίπασσε L. P. — συῤῥακοσίαις p. συρηκοσίαις M. συρακουσίαις w. — σ' ἐπιτάσσεν Brunck. in ed. 2.

---

88. ΣΧΟΛ. ΠΛΑ. ΤΡΥΓΟΝΕΣ ΕΚΚΝΑΙΣΕΥΝΤΙ ΠΛΑΤΟΙΑΣΔΟΙΣΑΙ. Ἤγουν Δωρίζουσαι πάντα. τὸ γὰρ πλατυάσδοισαι τοιοῦτόν ἐστιν. οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες. ΕΚΚΝΑΙΣΕΥΝΤΙ δὲ ἀντὶ τοῦ [1] διαφθεροῦσιν. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΥΓΟΝΕΣ, ὥςπερ τρυγόνες, s. l. E. N. ΕΚΚΝΑΙΣ. διαλέγονται, s. l. E. ἤγουν ἀποκναίουσιν ἡμᾶς, s. l. N. ΠΛΑΤΥΑΣΔ. πλατυςομοῦσαι, s. l. E. πλατυςομούμεναι, s. l. N. ΑΠΑΝΤΑ, εἰς ἅπαντα, s. l. E.

89. ΣΧΟΛ. ΝΕΩΤ. ΜΑ. [2] Ἀγανάκτησις παρὰ Συρακουσίοις τὸ Μᾶ. L. Συρακούσιον τὸ μᾶ, ἐπὶ ἀγανακτήσεως λεγόμενον, s. l. E. N. ΤΙ ΔΕ ΤΙΝ, βλάπτομεν δηλονότι σέ, s. l. E. μέλλει, s. l. N. ΚΩΤΙΛΑΙ, πολύλογοι, s. l. E. N. πολυλογοῦσαι, s. l. M. ΕΙΜΕΣ, ἐσμέν, s. l. E. M. N.

90. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΣΑΜΕΝΟΣ, ἀγοράσας, κτησάμενός

---

(1) διαλέγονται M. — (2) ἀγ. Συρακουσίων τὸ μᾶ. M.

Digitized by Google

Ὡς εἰδῆς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλεροφῶν· πελοποννασιστὶ λαλεῦμες·
Δωρίσδεν δ' ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσι.

V. 91. ὡς δ' εἰδῆς Y, Gaisf. Kiessl. — Κορινθιαι καὶ τοῦτο k, p. — ἠμὲς Vat. 8, 9, 10, G. M. Y. ἥμες w.

V. 92. χ' ὁ B. Vat. G. Βελλεροφὼν G. Βελλεροφῶν F. O. Βελλεροφόντης E. — πελοποννασιστὶ sic cum a, c, h, k, s, w, M. Y, Reisk. Brunck. Valck. Gaisf. Harles. Kiessl. pro vulgat. πελοποννησιστὶ quod r, A. F. O. Z, vett. edd. omnes. πελλοποναστὶ n. πελοποναστὶ E. πελοπονδιστὶ p. πελοποννησιαστὶ C. πελοπονησιστὶ G. πελοποννᾶσι τι, cum Glossa γρ. πελοποννασιστὶ, sic w ap. Sanctam.

V. 93. δωριεῦσιν c, h, Vat. L. M. P. Y. δωριέσσι p. δωριεῦσι w. δωριέεσσιν Kiessl.

τινα δούλην, s. l. M. κτησάμενος ἡμᾶς δούλας, s. l. E. ΕΠΙΤΑΣΣΕ, πρόςτασσε ἡσυχάζειν, s. l. E. N. πρόςταττε, s. l. M. ΣΥΡΑΚΟΥΣ. ἡμῖν, s. l. M.

91. ΣΧΟΛ. ΠΑΛ. ΚΟΡΙΝΘΙΑΙ. Κορινθίων γὰρ ἄποικοι οἱ Συρακούσιοι, ὡς καὶ ὁ Βελλεροφῶν. Κορίνθιος δὲ καὶ ὁ [1] Βελλεροφόντης. — ΣΧΟΛ. ΝΕΩΤ. ΩΣ, ἵνα, s. l. E. N. ΕΙΜΕΣ, ἐσμέν, s. l. E. ΑΝΩΘΕΝ, ἐξ ἀρχῆς, s. l. M. ἀπὸ τῶν παλαι χρόνων, s. l. E. ἀνέκαθεν, s. l. N.

92. ΣΧΟΛ. ΠΑΛ. Ἀντὶ τοῦ, κατὰ τοὺς Πελοποννησίους. τὴν γὰρ Πελοπόννησον ᾤκησαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΕΛΟΠΟΝΝΑΣ. Πελοποννησιςί, δωριςί, s. l. E. M. ἤγουν δωρικῶς, s. l. N.

93. ΣΧΟΛ. ΝΕΩΤ. ΔΩΡΙΣΔΕΝ, δωρικῶς ὁμιλεῖν, s. l. E. ΕΞΕΣΤΙ, ἄδειά ἐστι, s. l. E. ΔΟΚΩ, νομίζω, s. l. E. M. N.

---

(1) Βελλεροφόντης· ἐπεὶ δὲ ἡ Κόρινθος ἐν Πελοποννήσῳ, διὰ τοῦτο φησὶ Πελοποννασιστὶ λαλεῦμες ἤγουν δωρικῶς. N.

Digitized by Google

ΠΡΑΞΙΝΟΗ

Μὴ φυῇ, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
Πλὰν ἑνός· οὐκ ἀλέγω· μή μοι κενεὰν ἀπομάξῃς. 95

V. 94. φύη M. — ὡς ἁμῶν G. ἁμέων Kiessl. — καρτερώτερος p, C. — post εἴη punctum in nonnullis Vatt. ponitur. — Ante hunc versum Praxinoæ nomen om. Y.

V. 95. πλὴν p. — ἑνὸς e, Ott. x, A. D, Ald. Med. Call. ὑνὸς a. — ἀπομάζῃς s. ἀπομαξῇ g. ἀπομαξῆς w. — post ἑνος ponit punctum w.

---

94. ΣΧΟΛ. ΠΑΛ. Ἀντὶ τοῦ, μηδεὶς γένοιτο, ὦ Περσεφόνη, ἄλλος ἡμῶν κύριος. ΜΕΛΙΤΩΔΕΣ δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν, ὡς καὶ κόρην· διὰ τὸ τὰς [1] ἑταίρας αὐτῆς καὶ τῆς Δήμητρος μελίσσας λέγεσθαι. [ΜΗ ΦΥΗι. Μηδείς, φησίν, ὦ Περσεφόνη, περιφύῃ μοι, ἤγουν περιπλακείη, ὅς ἐστι καρτερότερος καὶ ἰσχυρότερος ἡμῶν· τουτέστι μηδεὶς ἐρασθῇ ἡμῶν μείζων ἡμῶν ὤν. ὅμοιον δ' ἐστὶ τῷ παρ' Αἰσχύλῳ· μηδὲ κρεισσόνων θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοι με. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΜΕΛΙΤΩΔΕΣ. Μελιτώδη τὴν Περσεφόνην φησὶ κατὰ ἀντίφρασιν, διὰ τὸ πικρίας μᾶλλον εἶναι πρόξενον τοῖς ἀποθνήσκουσι. καταχθονία γὰρ ἡ Περσεφόνη. φησὶν οὖν, ὦ Περσεφόνη, ἡ τῇ φύσει μελιτώδης, μηδεὶς γένοιτο ἡμῶν ἄλλος κύριος, ὥστε δηλονότι μὴ ἐᾷν ἡμᾶς τὰ κατὰ βούλησιν λέγειν ἢ ποιεῖν. N. ἤγουν, ὦ Περσεφόνη, κατὰ ἀντίφρασιν· πάντα γὰρ τὰ ἐν ᾅδῃ πικρά. L. ΟΣ ΑΜΩΝ, διὰ μέσου ἐπιφώνημα, s. l. L. P. ΚΑΡΤΕΡΟΣ, ἤγουν κύριος, κράτος καὶ ἐξουσίαν ἔχων καθ' ἡμῶν, s. l. E. ΕΙΗ, ἐστίν, s. l. M.

95. ΣΧΟΛ. ΠΑΛ. Μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς.

---

(1) Pro hac voce Anna ad Callim. Apollin. 110, reponit ἱερείας. De ipsa appellatione conf. Muret. V. L. II, 20. Schol. ad Pind. Pyth. IV, 104, Heyn. *Kiessl.*

Digitized by Google

ΓΟΡΓΩ.

Σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἁ τᾶς Ἀργείας θυγάτηρ πολυΐδρις ἀοιδός,
Ἅ τις καὶ Σπέρχιν τὸν ἰάλεμον ἀρίστευσε.

V. 96. ἀείδειν Stop. Brunck, Kiessl.

V. 97. τᾶς sic cum Winterton. Valck. Gaisf. Kiessl. pro vulgat. τῆς quod A. Z, Reisk. Harles. — θυγατάρ a, g. — πολυΐδρος c, M.

V. 98. σπέρχον w. πέρχιν k. ἰσπέρχιν G. — οἰάλεμον w ap. Sanctam. — ἀρίστευσε sic cum c, k, w, Vat. 5, 10, L, Brunck. Valck. Gaisf. pro vulgat. ἠρίστευσε quod A. F. G. N. O. Y. Z, Reisk. Harles. ἠρίστευσεν p. ἀρίστευσεν M, Kiessl. ἀρίστευε w.

— ΣΧΟΛ. ΝΕΩΤ. ΠΛΑΝ ΕΝΟΣ, πλὴν ἑνός, ἴσως τοῦ Διὸς ἢ τοῦ βασιλέως, s. l. M. τοῦ ἐμοῦ ἀνδρός, s. l. E. ΟΥΚ ΑΛΕΓΩ, οὐ φροντίζω ἑτέρου, s. l. E. M. ΚΕΝΕΑΝ, τὴν κενήν, s. l. M. ἄπρακτον, s. l. E. N. ΑΠΟΜΑΞΗΙΣ, ἀποσπογγίσῃς ἤγουν ἄψεται, s. l. M.

97. ΣΧΟΛ. ΠΑΛ. ΑΡΓΕΙΑΣ. Ἄδηλον τίς ἡ ποιήτρια αὕτη· ἔνοι δὲ [1] Ἀργείας αὐτήν φασιν εἶναι θυγατέρα, ὁμώνυμον τῇ μητρί· εἶναι δὲ ἐκείνην Σικυωνίαν. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΛΥΙΔΡΙΣ, ἡ ἐπιστήμων, s. l. M. πολλὰ εἰδυῖα, s. l. E. ΑΟΙΔΟΣ, ποιήτρια, s. l. M.

98. ΣΧΟΛ. ΝΕΩΤ. ΙΑΛΕΜΟΝ, ὕμνον, s. l. M. τὸν θρήνου ἄξιον, s. l. E. N. ΑΡΙΣΤΕΥΣΕΝ, ἠρίστευσεν, ἀρίζως ὕμνησεν, s. l. E. M. N.

---

(1) χαρίας αὐτὴν εἶναι ὁμών. M. χαρίας Vulc.

Digitized by Google

Φθεγξεῖταί τι (σάφ' οἶδα) καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΔΟΙΔΟΣ.

Δέσποιν', ἃ Γολγόν τε καὶ Ἰδάλιον ἐφίλασας, 100
Αἰπεινάν τ' Ἔρυκα, χρυσῷ παίσδοισ' Ἀφροδίτα,

V. 99. φθεγξῆται a, Vat. 5, 10. φθεγξεῖ p, C. — τοι pro τι c, M. τίς Vat. — σάφα p. σφ' sic Ott. ap. Warton. — ἄδα Vat. 12.

V. 100. γολγόν sic vulgo cum A. D. E. F. M. N. Z, Reisk. Harles. γολγὼ a, p, s, Vat. 10, C. G. L. Y. γολγὼς k, Valck. Gaisf. Kiessl. γοργὼ w. — ἰδάλιμον G.

V. 101. αἰπεινάν sic vulgo cum A. C. E. F. G. K. L. M. N. Y. Z, Reisk. Harles. αἰπεινὸν Wintert. Brunck. Valck. Gaisf. Kiessl. — ἐρύκαν h, k. κέρυκα w, K. M. — χρυσῶ sine ι subscripto n, p, r. — παίζουσ' r, w, A. E. G. K. N. Y. Z. παίζοισ' p.

---

99. ΣΧΟΛ. ΝΕΩΤ. ΣΑΦ', σαφῶς, s. l. E. ΔΙΑΘΡΥΠΤ. βλακικῶς ἑτοιμάζεται, s. l. E.

100. ΣΧΟΛ. ΠΑΛ. ΓΟΛΓΟΣ πόλις Κύπρου, ὠνομασμένη ἀπὸ Γολγοῦ τινὸς Ἀδώνιδος καὶ [1] Ἀφροδίτης. ΙΔΑΛΙΟΝ δὲ πόλις καὶ αὐτὴ Κύπρου.

101. ΣΧΟΛ. ΠΑΛ. ΕΡΥΞ, [2] πόλις Σικελίας, ἀπὸ Ἔρυκος τοῦ [3] Βούτου καὶ Ἀφροδίτης. ΧΡΥΣΩ. Διὰ τούτου δηλοῖ, ὅτι οἱ ἐρῶντες χρυσῷ πείθουσι τοὺς ἐρωμένους. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΠΕΙΝΑΝ, ὑψηλήν, s. l. M.

---

(1) Ἀφροδίτης υἱοῦ M. — (2) π. Σ. ἢ ὄρος M. (3) Vulgo Βωμοῦ. Illud certatim mutarunt viri docti, veraque lectio est jam in margine veterum editionum. De Buta conf. Diodorus Sicul. IV, p. 326, ibique Wesseling. Apollon. Rh. I, 95. Apollodor. I, 9, 25. Est Butes in Argonautis. vid. Tzetz. ad Lycophr. 175, p. 437. Müll. Hygin. Mythol. f. 260. Cluver. Sicil. Ant. II, 1, p. 239. sq. *Kiessl.*

Digitized by Google

Οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι,
Βάρδισται μακάρων, Ὧραι φίλαι· ἀλλὰ ποθειναί

V. 102. οἷόν τι w, Vat. G. L. ωἷον Z. τοι om. C. οἷον τὶν Brunck. — ἐπ' pro ἀπ' Vat. — ἀενάω sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀενάου quod A. D. F. Y. Z, Reisk. Harles. ἀεννάου p, w.

V. 103. μηνὶ δυωδεκάτῳ om. Vat. 5, 10 et forsan s. δωδεκαιδεκάτῳ L. δωκεδεκάτῳ Y. δωδεκάτῳ K. μανὶ Brunck. — μαλακοὶ πόδες c, K. M. μαλακαὶ πόδας k, Kiessl. μαλακάποδες e, D. E. μαλακόποδες H. μάλα καὶ πόδες p. μαλακαὶ πόδας Vat. — ὥραι Ott. ὥρας K. M.

V. 104. βάρδισται et corr. βράδισται A. βράδεται E. F. βραδίσται G. — φίλαι om. p, C.

---

102. ΣΧΟΛ. ΝΕΩΤ. Οἷον τοι, θαυμαστόν, s. l. E. ΑΧΕΡΟΝΤ. ἤγουν τοῦ ᾅδου, s. l. E.

103. ΣΧΟΛ. ΠΑΛ. Μηνὶ δυωδεκάτῳ. Τινὲς [1] δι' ἑξαμήνου φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν [[2] ἐκ τοῦ Ἅιδου. M.]. Μαλακοὺς δὲ ἔχειν πόδας ἔφη τὰς Ὥρας, ἐπεὶ τὸ ἔαρ μαλακόν. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΛΑΚΑΠ. Μαλακαίποδας ἔφη τὰς ὥρας, διὰ τὸ μὴ ἐξαίφνης τὰς ποιότητας ἀμείβεσθαι, ἀλλὰ σχολαιοτέρως καὶ διὰ μεσοτήτων. E. N. ΑΓΑΓΟΝ, κατὰ τὸν καιρὸν τοῦ ἔαρος, s. l. L. P.

104. ΣΧΟΛ. ΝΕΩΤ. ΒΑΡΔΙΣΤΑΙ, βραδεῖαι, s. l. M. βραδεῖς μέν εἰσι, s. l. E. ΜΑΚΑΡΩΝ, ἀπὸ τῶν θεῶν, s. l. E. ΦΙΛΑΙ, αἱ προσφιλεῖς, s. l. E. ΑΛΛΑ ΠΟΘΕΙΝΑΙ, ἐκ παραλλήλου φίλαι καὶ ποθειναί. s. l. M.

---

(1) Sic cum M pro vulgat. δὲ ἑξαμήνου. [L. δι' ἑξ. G. H. S.] —(2) ἐ. τ. ᾅδου. τὴν γὰρ μητέρα Βερσεφόνην καὶ τὸν πατέρα Πτολεμαῖον ἀπεθέωσε. M.

Digitized by Google

Ἔρχονται, πάντεσσι βροτοῖσιν ἀεί τι φοροῖσαι· 105
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
Ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
Ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·

V. 105. βροτοῖσιν sic vulgo cum A. D. E. F. G. N. Y. Z, Harles. Reisk. βροτοῖς a, c, k, p, w, M, Valck. Gaisf. Kiessl. — ἀεί sic vulgo cum w, A. D. F. G. L. M. Z, Reisk. Harles. αἰεὶ a, c, k, p, C, Valck. Gaisf. Kiessl. — τοι pro τι p, C. κ' εἴτι pro ἀεί τι E. — φοροῖσαι sic vulgo cum p, A. D. G. N. Y. Z, Reisk. Harles. φοροῦσαι L. M. φορεῦσαι F. φεροῦσαι K. φέροισαι Valck. Gaisf. Kiessl.

V. 106. κυπρία p. κύπριν Vat. 10. — Διαναία p. Διωναίη w. — τὸ pro τυ p. — ἀθάνατον l (a man. 2ª), F. K. L. M. P. ἀθανάτων k. — θνατᾶς k, p, w, Valck. Brunck. Harles. Gaisf. Kiessl. pro vulgat. ἀπὸ θνατῶν quod A. D. E. F. G. L. N. P. Y. Z, Reisk. vett. edd. θανατῶν Vat. 10. θανατᾶς k.

V. 107. ὠνθρώπων k, l, Ott. Vat. 5, 10, Med. A. D. N. Z. post hoc voc. parenthesin om. p, quam vulgo reponunt vett. edd. et Reisk. — μῦθον a. — βερενίκαν cum c, k, p, Vat. 5, 8, 9, 10, M, Junt. Wintert. Reisk. et recentioribus edd. pro vulgat. βερονίκαν quod A. D. N. Z, vett. edd.

V. 108. ἀμβροσίην Y.

---

105. ΣΧΟΛ. ΝΕΩΤ. ΑΕΙ ΤΙ, ἀγαθόν, s. l. M.

106. ΣΧΟΛ. ΝΕΩΤ. ΔΙΩΝΑΙΑ, Διωναίη, τῆς Διώνης θυγάτηρ, s. l. M.

107. ΣΧΟΛ. ΠΑΛ. ΒΕΡΕΝΙΚΗΝ δὲ λέγει τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου καὶ [1] Ἀρσινόης. — ΣΧΟΛ. ΝΕΩΤ. ΩΣ ΜΥΘΟΣ, λέγει, s. l. M.

108. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΒΡΟΣΙΑΝ. Ἀμβροσία γίνεται ἀπὸ τοῦ α ςερητικοῦ μορίου, καὶ τοῦ βροτόν, ὃ σημαίνει τὸ

---

(1) Ἀρσινόης. μαλακοὺς δέ φησι τοὺς πόδας ἔχειν τὰς ὥρας, ὅτι τὸ ἔαρ μαλακὸν εἰς τὸ πορεύεσθαι τοὺς ἀνθρώπους, καὶ οὐ τραχὺ ὡς ὁ χειμών. M.

Digitized by Google

Τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
Ἁ Βερενικείᾳ θυγάτηρ, Ἑλένᾳ εἰκυῖα, 110
Ἀρσινόᾳ πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μὲν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέροντι,

V. 109. χαρισδομένα Kiessl. — πολύαινε E. L. N. P. πολύνασε A.

V. 110. βερενικείᾳ a, Vat. 5, 8, 10, 12, M. βερονικείᾳ A. D. N. Z. βερενικείας Vat. 9, Y. — οἰκυῖα p, L. P. εἰκῆα Vat. 10. εἰκεῖα A.

V. 111. παντέσι p. — ἀντιτάλλει p.

V. 112. παρμένοι ἐν w. — φέρονται a, c, k, s, Vat. 5, 9, 10, 12, M. P. Y.

φθαρτόν, πλεονασμῷ τοῦ μ. E. N. ἀθανασίαν, s. l. E. N. ΓΥΝΑΙΚΟΣ, ἤγουν τῆς Βερενίκης, s. l. E.

109. ΣΧΟΛ. ΠΑΛ. ΤΙΝ. Ἀντὶ τοῦ σοὶ φησὶ χαριζομένη ἡ τῆς Βερενίκης θυγάτηρ. [ΠΟΛΥΩΝΥΜΕ. καὶ Εὐριπίδης· πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος Θεὰ κέκλημαι Κύπρις. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΤΙΝ ΔΕ ΧΑΡΙΖ. σοὶ δὲ χαριζομένη ἀνθ' ὧν ἀθάνατον ἐποίησας τὴν μητέρα αὐτῆς, s. l. M. χάριτας ἀπονέμουσα, s. l. E. N. ΠΟΛΥΩΝ. Ἀφροδίτη, s. l. E.

110. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΚΥΙΑ, ἡ ὁμοία τῇ Ἑλένῃ τῷ κάλλει, s. l. L. M. N.

111. ΣΧΟΛ. ΠΑΛ. ΑΡΣΙΝΟΗ πᾶσι καλοῖς ΑΤΙΤΑΛΛΕΙ καὶ δεξιοῦται τὸν Ἄδωνιν. ἀτιτάλλω γὰρ ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ταλάσσω, τὸ κοπιῶ. σημαίνει δὲ τὸ ἀναπαύω, καὶ μὴ διὰ κόπου ταλαίνω. ἢ ἀπὸ τοῦ ἄττω, τὸ ὁρμῶ, καὶ τοῦ ἄλλω, τὸ πηδῶ· καὶ σημαίνει τὸ αὐξάνω. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΝΤΕΣΣΙ, αὕτη γὰρ ἐτέλει τὴν ἑορτὴν Ἀδώνιδος, s. l. M. ΑΤΙΤΑΛΛΕΙ, αὔξει, τιμᾷ, s. l. M. N.

112. ΣΧΟΛ. ΠΑΛ. Πάντα, φησί, τὰ ἀκρόδρυα [1] παρατί-

---

(1) Antea legebatur περιτίθενται, quod Toup. mutavit. *Kiessl.*

Digitized by Google

Πὰρ δ' ἀπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
Ἀργυρέοις, Συρίῳ δὲ μύρῳ χρύσαι ἀλάβαστρα·
Εἴδατά θ', ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ ποιέονται, 115

V. 113. κῶποι Vat.

V. 114. συρίου δὲ μύρου p, w. συρέω Y. — χρύσεια λάβαστρα Z, Ald. χρύσεα L. P.

V. 115. δ' ὅσα E. F. K. L. M. P. — πλαθάνῳ a, e, p, s, w, x, Vat. 5, 8, 9, 10, Y, Valck. Gaisf. Kiessl. πλαθάνῃ vulgo et L. M. N. P. Z, Reisk. Harles. πλαναθῶ k. πλαθάνα c, M. πλατάνῳ A. πλαθαρῇ h. πλατάρῃ et corr. πλατάνῃ F. πλαθάνῳ Brunck. — ποιεῦνται e, l, x, Ott. D. Z et A, in quo suprascr. γρ. ποιέονται. item Ald. Med. Call. Reisk.

θενται τῷ Ἀδώνιδι, ἀπὸ παντοίας ἰδέας ὀπωρῶν. εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισι [1] προαστείοις, καὶ τοὺς φυτευθέντας [τότε M.] κήπους [2] Ἀδωνίους προσαγορεύειν. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΡ ΜΕΝ ΟΙ, παρὰ μὲν αὐτῷ, s. l. E. M. N. ΩΡΙΑ, ἔγκαιρα, s. l. E. M. ἐγκαίρως, s. l. N. ΔΡΥΟΣ, ἀντὶ τοῦ παντὸς ὀπωροφόραν δένδρου, s. l. E. N. ΑΚΡΑ, ἐξαίρετα ἢ τὰ ἀκρόδρυα, s. l. M.

113. ΣΧΟΛ. ΠΑΛ. [ΑΠΑΛΟΙ ΚΗΠΟΙ· τὰ ἐκ τῶν κήπων ὀσφράδια. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΠΟΙ, ἤγουν φυτευόμεναι εὐώδεις βοτάναι ἢ ἄνθη, s. l. E. N. ΤΑΛΑΡΙΣΚΟΙΣ, ἐν καλαθίσκοις, s. l. E. N.

114. ΣΧΟΛ. ΠΑΛ. ΑΛΑΒΑΣΤΡΑ, σκεύη μύρων δεκτικά. [3] ΠΛΑΘΑΝΑΙ δὲ ἐν αἷς διαπλάττουσι τοὺς ἄρτους. ΑΝΘΕΑ δὲ τὰ ἐπιπάμματα τῶν ἄρτων. λέγει δὲ τὰ σήσαμα. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΥΡΙΩ, ἀπὸ Συρίας, s. l. M. συριακοῦ, s. l. E. N.

115. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΔΑΤΑ, βρώματα, s. l. E. M. N.

---

(1) Hanc vocem tuetur Bastius in Epist. crit. p. 193, sq. Kiessl. — (2) ἀδωνείους M. — (3) πλαθάνη δὲ σανὶς ἐν ᾗ πλάττουσε

Ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ·
Ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
Πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾷδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες, μαλακῷ βρίθοισαι ἀνήθῳ,

V. 116. σμιγοῖσαι L. P. — παντὶ pro παντοῖ' p, A. C. παντοῖα μαλεύρῳ sic Vat. ap. Warton.

V. 117. τά τ' ἐνύγρω ἐλαίω Reisk.

V. 118. καὶ τῇδε παρεῖ p. τῇδε παρίν Vat. 5. καὶ τᾷδε C. τῇδε Y. τῇδε πάρεστι w. — πάρεστιν M. πάρεντι Brunck. Kiessl.

V. 119. δυσκιαδες sine ullo accentu, sic Vat. ap. Sanctam. σκυάδες F. — βρίθοισαι sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. βρίθουσαι quod A. F. Z, Reisk. Harles. βρίθοντες a, c, k, p, s, w, Vat. 5, 8, 12, C. G. K. L. M. P. Y. βρίθονται Vat. 9, 10.

ΠΑΛΘΑΝΗι, συνοδεία, s. l. E. N. ΠΟΝΕΟΝΤΑΙ, ἐνεργοῦσι, s. l. M. κατασκευάζουσι, s. l. E. N.

116. ΣΧΟΛ. ΝΕΩΤ. ΜΙΣΓ. φύρουσαι, s. l. E. ΠΑΝΤ. οἷον σήσαμον καὶ τὰ τοιαῦτα. ἀλεύρῳ ἤγουν σεμιδάλει, s. l. M.

117. ΣΧΟΛ. ΠΑΛ. ΓΑΥΚΕΡΩ ΜΕΛΙΤΟΣ. [1] Ἀντὶ τοῦ, πλακοῦντες διάφορε. — ΣΧΟΛ. ΝΕΩΤ. Ὑγρόν φησι τὸ ἔλαιον, οὐχ ὡς ὄντος ἐλαίου ξηροῦ, καὶ διὰ τοῦτο πρὸς ἐκεῖνο ἀντικείμενον· ἀλλ' ὅτι, τῶν ἄλλων πάντων ὑγρῶν, εἴπερ τισὶν ἐπιχέονται, συντόμως ὑπὸ τοῦ ἡλίου ἀνιμωμένων, μόνον τὸ ἔλαιον ἐπὶ πολὺ τὸ χρισθὲν ὑγρὸν συντηρεῖ. E. N.

118. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΤΩι, Ἀθώνιδι, s. l. M. ΤΑΙΔΕ, ἐνταῦθα, s. l. M.

119. ΣΧΟΛ. ΠΑΛ. ΣΚΙΑΔΕΣ. Ἀντὶ τοῦ χλωραὶ σκιαὶ καὶ καλύβαι ἀνήθων σὺν αὐτῷ τῷ καρπῷ καταβριθόμεναι γα-

---

τ. ἄ. Ἄνθη δὲ ἃ μίσγουσιν, εἰσὶ τὰ ἐπιπάσματα τ. ἄ. λέγοις ἂν τ. α. M. ἐπισπέρματα τ. ἄρτ. Salv.

(1) ὅσα ἀπὸ μέλιτος καὶ ἐλαίου κατασκευάζονται, ἤγουν πλ. δ. M.

Digitized by Google

Δέδμανθ' οἱ δέ τε κῶροι ὑπερποτόωνται Ἔρωτες, 120
Οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων

V. 120. δέδμηθ' h. δέδμηνθ'. w, Vat. 12, F. P. δέδμαθ' p. — τοι pro οἱ δέ τε Vat. 12. οἷδ' ἔτι M. οἱ δέ τι K. οἱ δ' ἔτι L. P. ὦ δ' ἔτι F. — κῶροι F. K. L. P. κούροι Vat. 12. κούραι p. — ὑπερποτόωνται sic cum c, e, g, l, x, Ott. Med. Ald. Junt. Steph. in marg. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ὑπερπωτῶνται quod C. K. Y, Call. Steph. vett. nonnullæ edd. Reisk. Harles. ὑπερποτῶντο Vat. 5, G. ὑπερπωτῶντο a, Vat. 8. ὑπερποτῶνται Vat. 10, L. P. ὑπερποτῶντες p.

V. 121. οἷον a, g, Vat. 10. οἷα Vat. 9, G. Y. οἷοι Ott. Tolet. w (in quo οἷοι videtur transformatum in οἷον) Junt. — ἀηδονιδῆες sic cum Valck. Gaisf. Kiessl. pro vulgat ἀηδονιῆες quod A. D. F. G. O. Y, Tolet. Steph. Junt. vett. edd. Reisk. Harles. ἀηδωνιῆες Z, Ald. Call. ἀηδονῆες a, g, k, p, w. ἀηδονίδες C. ἀηδονέες E. ἀηδωνῆες K. M. ἀηδόνα L. P. — ἀεξομένων a, c, k, p, s, w, Vat. 8, 9, 12, G. K. M. Y, Junt. ἀεξόμενοι Vat. 10. ἀεζόμενοι L. P. καταεζόμενοι E. συναεξομένων C. — ἐφεσδόμενοι Brunck. Kiessl.

γόνασιν. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΙΑΔΕΣ, βοτάναι, s. l. M. εἶδος βοτάνης, s. l. E. N. ΒΡΙΘΟΙΣ. θάλλοντες, s. l. M. ΑΝΗΘΩΙ, καρπῷ, s. l. M.

120. ΣΧΟΛ. ΠΑΛ. [1] Τὰς καλύβας, φησίν, ὑπερπέτονται οἱ Ἔρωτες, ὡς οἱ νεοσσοὶ τῶν ἀηδόνων· — ΣΧΟΛ. ΝΕΩΤ. ΔΕΔΜΑΝΘ', ἀντὶ τοῦ δεδόμηται κατὰ συγκοπήν, s. l. E. N. ΟΙ ΔΕ ΤΕ, σὺν τούτοις, s. l. E. ἐνθάδε πρὸς τούτοις οἱ νέοι πέτονται ἔρωτες, s. l. N.

121. ΣΧΟΛ. ΝΕΩΤ. ΑΗΔΟΝΙΗΕΣ, θαυμαστικῶς οἱ νεοσσοὶ τῶν ἀηδόνων, s. l. N. ΕΦΕΖΟΜ. καθεζόμενοι, s. l. E.

---

(1) οἱ ἔρωτες, φησίν, ὑπερπωτῶνται ὥσπερ οἱ νεοσσοὶ τῶν ἀηδόνων ὑπερίπτανται ἐν τοῖς κλάδοις τῶν δένδρων, ἀποπειρώμενοι τῶν πτερύγων αὐτῶν, καὶ ἀπὸ κλάδου εἰς κλάδον μεταβαίνουσι. M.

Digitized by Google

Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὦ χρυσός, ὦ ἐκ λευκῶ ἐλέφαντος
Αἰετώ, οἰνοχόον Κρονίδᾳ Διΐ παῖδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω· 125

V. 122. ποτῶνται a, c, Vat. 10. ποττῶνται e, l, x, A. D. N. O. Z, Ald. Med. ποιτῶνται Ott. πωτώμενοι E. πωττῶνται Call. vett. edd. πωτῶνται Steph. — πειρόμενοι p, P. — ἀπ' ὄζω sic cum Valck. Gaisf. pro vulgat. ἀπ' ὄζου quod vett. edd. Reisk. Harles. ἀπὸ ὄζου A. D. E. N. O. P. Y. Z. ὄσδου ἀπ' ὄσδω Brunck. Kiessl.

V. 123. ὦ ter p, Ott. D. F. G. K. L. N. O. Y. Z. ὦ ter E. ὦ' ἔβενος Vat. M. Y. — ὦ χρυσοί L. P.

V. 124. αἰετοί k, p, C. αἰετώ δε Vat. — οἰνοχόων w. — κρονίδα, ου sup. α, M.

V. 125. πορφύραι δε w, sic ap. Warton. — μαλακώτερον Vat. 9. — ὕπνου Y.

---

122. ΣΧΟΛ. ΝΕΩΤ. ΠΤΕΡΥΓΩΝ, διὰ πτερύγων, s. l. E. ΟΖΟΝ ΑΠ' ΟΖΩ, κλάδον ἀπὸ κλάδου, s. l. M.

123. ΣΧΟΛ. ΠΑΛ. Ω ΕΒΕΝΟΣ. Τὴν λοιπὴν κόσμησιν [1] τὴν βασιλικὴν θαυμάζει. [ἦσαν γὰρ ἐκ χρυσοῦ καὶ ἐβένου ξύλου καὶ ὀστέων ἐλεφαντίνων ἀετοὶ κατεσκευασμένοι καὶ βαστάζοντες τὸν Γανυμήδην. M.] — ΣΧΟΛ. ΝΕΩΤ. Ω, ὅπου, s. l. E. N. ΕΒΕΝΟΣ, ξύλον μέλαν ὁ ἔβενος, s. l. M.

124. ΣΧΟΛ. ΠΑΛ. ΑΙΕΤΩ. Ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων, καὶ βασταζόντων Γανυμήδην. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΕΤΩ, ἀετοί, s. l. E. ΦΕΡΟΝΤΕΣ, ἐπάνω αὐτῶν, s. l. M.

125. ΣΧΟΛ. ΠΑΛ. Ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης, οὓς φησιν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου, διὰ τὸ παρ' αὐτοῖς

---

(1) τοῦ Ἀδώνιδος θ. M.

Α Μίλατος ἐρεῖ, χὠ τὰν Σαμίαν καταβόσκων.
Ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα·
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὀρροδόπαχυς Ἄδωνες,
Ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.

V. 126. ἀμέλιτος w. ἁ Μίλητος L. M. P. μίλητος Y. — ἐρέει h, F. — χ' ὠ p, Ott. L. M. P. — Σαμίων w, K. L. M. P.

V. 127. ἔστρωται δὲ l, x, Ott. A. D. N. O. Z, Med. Ald. — κλίνη Y. — ἀλλὰ K.

V. 128. μὰν pro μὲν k. — Κύπριν w. — δ' ὠ a, x, Ott. D. K. L. M. N. O. P. Z. δ' ἄρ' E. — ὀρροδόπηχυς G. Y. ῥοδόπηχυς p, w.

V. 129. ὀκτωκαιδεκάτης a, c, e, g, k, x, Vat. 5, 8, 12, G. K. L. M. N. P. Z, sic D et O, in quibus corr. ὀκτωκαιδεκέτης, sic vett. edd. Ald. Call. ὀκτωκαιδεκαέτης l, A, Med. ὀκτωκαιδεκάτας v. ὀκτωκαιδεκαίτις Ott. ὀκτωκαιδεκαετὴς C. ὀκτωκαιδεκετής Y, Steph. primus ὀκτωκαιδεκέτης. ὀκτωκαίδεκα τῆς Reisk. — ἐννακαίδεχ' p. ἐνακαίδεχ' L. ἐννεκαίδεχ' D. ἐννεακαίδεχ' ὠ Ott.

εἰς κάλλος τὰ στρώματα γίνεσθαι. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΠΗΤ. πεύκια, s. l. E. ΥΠΝΩ, ἤγουν ὥςτε ὑπνῶσαι, s. l. E. N.

126. ΣΧΟΛ. ΠΑΛ. [Ἐρεῖ τὰ Μιλήτου καὶ Σάμου ἔργα. ἡ δὲ ΚΑΤΑ ἀνατρεπτέον· ἔστι γὰρ κατὰ τὴν Σάμου βοσκήν, οἷον, καταβοσκόμενος καὶ νεμόμενος. Salv.] — ΣΧΟΛ. ΝΕΩΤ. Α ΜΙΛΑΤΟΣ ΕΡΕΙ. Ἡ Μίλητος, φησίν, ἐρεῖ, καὶ ὁ τὴν γῆν τῆς Σάμου νήσου κατανεμόμενος, ὅπως ἦσαν οἱ τάπητες μαλακοί, ἤγουν οἱ τὴν Μίλητον καὶ τὴν Σάμον οἰκοῦντες· ἐν ταύταις γὰρ κάλλιστοι γίνονται τάπητες. Μ. ΜΙΛΑΤΟΣ, ἡ νῆσος, s. l. M. ὁ χωρικός, s. l. E. N. ΕΡΕΙ, εἴποι ὅπως ἦσαν μαλακοί, s. l. M. ΣΑΜΙΑΝ, τὴν γῆν τῆς Σάμου νήσου, ἤγουν ὁ ἐν Σάμῳ οἰκῶν, s. l. M. ΚΑΤΑΒΟΣΚΩΝ, κατατρώγων, ἤγουν ἰδιώτης, s. l. E. N.

128. ΣΧΟΛ. ΝΕΩΤ. ΤΑΝ ΜΕΝ, τὴν κλίνην, s. l. M. ΡΟΔΟΠΑΧ. ὁ λευκόπηχυς, s. l. M. ἐρυθρὸς τοὺς πήχεις τῶν χειρῶν, s. l. E.

129. ΣΧΟΛ. ΝΕΩΤ. ΟΚΤΩΚΑΙΔ. ὀκτωκαίδεκα ἐτῶν,

Digitized by Google

Οὐ κεντεῖ τὸ φίλαμ'· ἔτι οἱ περὶ χείλεα πυῤῥά. 130
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα.
Ἀῶθεν δ' ἄμμες νιν ἁμᾶ δρόσῳ ἀθρόαι ἕξω
Οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα·

V. 130. κεντῇ w, Vat. 5, Brunck. οὐκ ἐντεῖ D. — φίλημα p. φιλαμίς τι L. — παρὰ χ. a, g, s, Vat. 5, 9, Y. πάρ χ. G.

V. 131. νῦν μὰν g, p, Vat. 5, 10, G. Y. — ἔχουσα Y. — αὐτᾶς sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. αὐτῆς quod M. Y. Z. αὐτοῦ A. O. — χαίροισα ἐῇέτω Vat, 12. χαιρε, τι sup. ρε, sic Vat. alius ap. Sanctam.

V. 132. ἠῶθε p. ἠῶθεν w, P. — ἤμες p. — νῦν pro νιν w, Vat. 9, E. L. P. — ἁμᾶ C, Kiessl. ἄμμα E. — ἀθρόᾳ k. ἀθρόα w, L. ἀθρόαν ἑξῶ et corr. in marg. ἀθρόαι ἕξω, E.

V. 133. οἰσοῦμες P. οἰσοῦμαι Vat. 12. — κῦμα τ' p. — ἀϊόνα E. N. αἴονα h. ἐποριόνι P. — πτόοντι Vat. 12.

---

s. l. M. ΓΑΜΒΡΟΣ, ὁ ἀνὴρ κατὰ Αἰολεῖς, s. l. M. P. ὁ ἀνὴρ αἰολικῶς, s. l. E. N. ὁ ἀνὴρ κατὰ Σικελιώτας, s. l. L.

130. ΣΧΟΛ. ΠΑΛ. ΤΟ ΦΙΛΑΜ'. Τὸ τοῦ Ἀδώνιδος δηλαδή. οὐδέπω γὰρ κέκαρται τὰ γένεια, ὡς κεντῶσιν, ἀλλ' [1] ἔτι χνοάζει. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΕΝΤΕΙ, τιτρώσκει, s. l. M. ΦΙΛΑΜ', τὸ φίλημα αὐτοῦ, s. l. M. ἤγουν οὐ κουρεύει τὸ γένειον, ἵνα φιλούμενος κεντῇ τὰ χείλη τῶν φιλούντων, s. l. L. P. ΠΥΡΡΑ, ἐρυθρά, s. l. E. N. ξανθὰ γένειά ἐστι, s. l. M.

131. ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΔΡΑ, ἤγουν τὸν Ἄδωνιν, s. l. E. N.

132. ΣΧΟΛ. ΠΑΛ. ΑΜΑ ΔΡΟΣΩι. Ἀντὶ τοῦ ἅμα ἡμέρᾳ. τότε γὰρ πίπτει ἡ δρόσος ἐν τῇ γῇ. — ΣΧΟΛ. ΝΕΩΤ. ΝΙΝ, αὐτόν, s. l. M. ΑΘΡΟΑΙ, συνηθροισμέναι, s. l. M.

133. ΣΧΟΛ. ΠΑΛ. ΟΙΣΕΥΜΕΣ. Ἐπὶ γὰρ τὴν θάλασσαν

---

(1) Vulgo ἐπιχνοάζει. Correxit Hemsterhus. Vid. Valcken. ad Adoniaz. p. 409, A. *Kiessl.*

Digitized by Google

Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς· 135
Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε, κ' εἰς Ἀχέροντα,
Ἀμιθέων, ὡς φαντί, μονώτατος· οὔτ' Ἀγαμέμνων

V. 135. ἄοιδας p.

V. 136. ἕρποις Vat. 9, G. Y. ἕρπαις p. ἕρπ' a, Vat. 10. — κὴς Brunck. Kiessl.

V. 139. ἀμιθέων sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἡμιθέων quod A. Y. Z, Reisk. Harles. — ὡς φαντί om. G. deest parenthesis in p. — νεώτατος pro μονώτατος a, g, Vat. 5. μανώτατος N. μονώτατος et corr. γρ. μανώτατος O. μονώτατος οὔτε μανώτατος F. μανώτατε et suprascr. νεώτατε E. — Ἀγαμέμνων om. F.

ἐκφέροντες τὸν Ἄδωνιν, [1] ἔρριπτον ἐπ' αὐτήν. — ΣΧΟΛ. ΝΕΩΤ. ΟΙΣΕΥΜ. κομίσομεν, s. l. E. M. ΕΠ' ΑΙΟΝΙ, τῷ αἰγιαλῷ, s. l. M. ἐπὶ τὸν αἰγιαλόν, s. l. E. N. ΠΤΥΟΝΤΑ, τὰ ἀποπεμπόμενα, s. l. E. ἀποπτύοντα τὸν ἀφρόν, s. l. M.

134. ΣΧΟΛ. ΝΕΩΤ. ΚΟΜΑΝ, κόμην, τοὺς πλοκάμους, s. l. M. ΕΠΙ ΣΦΥΡΑ, τοὺς ἀστραγάλους ἢ τὰ γόνατα, s. l. M. ΚΟΛΠΟΝ ΑΝΕΙΣΑΙ, ἀφεῖσαι τὰ περὶ τὸ στῆθος ἱμάτια, s. l. M.

136. ΣΧΟΛ. ΝΕΩΤ. ΕΡΠΕΙΣ, πορεύῃ, s. l. M. ἔρχῃ, s. l. E. ΑΧΕΡΟΝΤΑ, ἤγουν εἰς τὸν ᾅδην, s. l. E. ΤΡΙΚΑΙΝΙΟΥ. Κ' ΕΙΣ ΑΧΕΡ. Προείρηται γὰρ ὡς μηνὶ δυοκαιδεκάτῳ ἐξ Ἀχέροντος Ἄδωνις ἀνέρχεται· τοῦτο δὲ οὐδεὶς τῶν ἄλλων ἡρώων εὗρεν. M.

137. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΙΘΕΩΝ, ἡρώων, s. l. M. ΜΟΝΩΤΑΤΕ, νεώτατε, s. l. E.

---

(1) Hemsterhus. ἔρρυπτον ἐπ' αὐτῇ vel ἐν αὐτῇ. vid. Valck. ad Adoniaz. p. 410, A. *Kiessl.*

Digitized by Google

Τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
Οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθών, 140
Οὔθ', οἱ ἔτι πρότεροι, Λαπίθαι καὶ Δευκαλίωνες,

V. 138. βαθυμάνιος c. βαρυμάνοιος A.

V. 139. οὔτ' Ἕκτ. F. — ὁ post Ἑκάβης om. G. — γεραίτερος sic vulgo cum A. C. D. E. F. K. L. N. O. P. Z, Reisk. Harles. Kiessl. γεραίτατος s (a man. 2ª), Vat. 8, 9, Y. — εἴκοτι Vat. 8, 9, G. Y.

V. 140. οὐ πύῤῥος a, e, g, h, k, p, Vat. 5, 8, 9, 10, L. M. P. Y, Reisk. Brunck. Valck. Harles. Gaisf. Kiessl. ἢ π. A. D. N. O, vett. edd. omnes ὁ πύῤῥος Vat. 12. — ἐπανενθών D, Brunck. Kiessl. ἐλθὼν G.

V. 141. ἔτει Vat. 5, E. — πρότερον p, c, w, C. E. K. M. P.

---

138. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΑΘ', ἤγουν τὸ ἐκ τοῦ ᾅδου ἐπανελθεῖν, s. l. E. N. ΒΑΡΥΜΑΝΙΟΣ. Ὁ βαρεῖαν ἀγίαν καὶ λύπην ὑποστάς. ἢ βαρεῖαν μανίαν, ἤγουν μανικὴν νόσον. E. N. ὁ βαρεῖαν ὀργὴν κατὰ τῶν Ἑλλήνων κτησάμενος· ἢ βαρεῖαν μανίαν, ὥςτε καὶ ξίφει ἀναιρεθῆναι. s. l. M.

139. ΣΧΟΛ. ΠΑΛ. ΕΙΚΟΤΙ. Εἴκοσι παίδων. τῷ γὰρ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηται. ὡς καὶ Σιμωνίδης. Ὅμηρος δὲ ἐννεακαίδεκα λέγει. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΚΑΤΙ, τῶν εἴκοσι, δωρικόν. s. l. E.

140. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΤΡΟΚΛΗΣ, ὁ Πάτροκλος, s. l. M. ΠΥΡΡΟΣ, ὁ Νεοπτόλεμος, s. l. L. M.

141. ΣΧΟΛ. ΠΑΛ. ΔΕΥΚΑΛΙΩΝΕΣ. Ἀντὶ τοῦ Δευκαλίδαι, ἀπὸ Δευκαλίωνος, [1] ἤγουν Θεσσαλοί· τούτων γὰρ ἐβασί-

---

(1) Valcken. p. 412, C. « pro Θεσσαλοῦ cum Clariss. Ruhnkenio οἱ Θεσσαλοί· et mox pro Κύδνῳ, scribendum Κύνῳ τῆς Λοκρίδος, cum eodem et Ti. H. ex Strabonis IX, p. 651. A. » *Kiessl.* pro vulgato Θεσσαλοῦ dedimus ἤγουν Θεσσαλοί cum M et Gaisf.

Digitized by Google

Οὐ Πελοπηϊάδαι τε, καὶ Ἄργεος ἄκρα, Πελασγαί.
Ἴλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
Καὶ νῦν ἤνθες, Ἄδωνι, καί, ὅκκ' ἀφίκῃ, φίλος ἡξεῖς.

ΓΟΡΓΩ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον. ἁ θήλεια 145

V. 142. τε om. G. Y. — ἄκραι Y.

V. 143. ἴλαθι w. ἴλα νῦν g, x, Ott. A. Z, Med. Ald. Call. vett. edd. ante Steph. — νέον k, νέωτα w. — τ' om. Junt. — εὐθυμήσεις h, F. K. L. M. P. εὐθυμεύσαις Vat. 4, 5, ap. Sanctam. Junt. εὐθυμεύσῃς margo Steph.

V. 144. ἤνθες Ott. ἤλθες w. — ἡξοῖς A.

λευσεν ὁ Δευκαλίων· ἢ οἱ Λοκροί· Δευκαλίων γὰρ ἐν Κύνῳ τῆς Λοκρίδος ᾤκησεν.

142. ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΓΕΟΣ ΑΚΡΑ, ἀντὶ τοῦ οἱ πρῶτοι τῶν Πελασγῶν ἤγουν τῶν Ἀργείων, s. l. E. N. τοῦ Ἄργους οἱ πρῶτοι, οἱ ἐξοχώτατοι, s. l. M.

143. ΣΧΟΛ. ΠΑΛ. ΙΛΑΘΙ. Ἀντὶ τοῦ ἱλάσθητι, κατὰ [1] συγκοπὴν δωρικῶς. — ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΙ ΕΣ ΝΕΩΤ', Ἀντὶ τοῦ εἰς τὸ νέον ἔτος, ἤτοι τὸ ἐπιών. E. N. συνίζησις. εἰς τὸ μέλλον, s. l. M.

144. ΣΧΟΛ. ΝΕΩΤ. ΑΦΙΚΗΙ, ὅτε ἄλλοτε ἔλθῃς, s. l. M. ΗΞΕΙΣ, ἔλθῃς ἄν, s. l. M.

145. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟ ΧΡΗΜΑ, τὸ τῆς ᾠδῆς, s. l. M. τῶν γυναικῶν δηλονότι, s. l. E. N. ΣΟΦΩΤΕΡΟΝ, ἤγουν σοφόν, s. l. M. ἀντὶ τοῦ σοφώτατον, s. l. E. Ἁ ΘΗΛΕΙΑ, ἡ γυνή, ἡ ἀοιδός. s. l. E. N.

---

(1) Sic nos, cum M, Gaisf. pro vulgat. ἀποκοπήν.

Digitized by Google

Ὀλβία ὅσσα ἴσατι, πανολβία ὡς γλυκύφωνος!
Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
Χώνὴρ ὄξος ἅπαν· πεινᾶντι δὲ μηδὲ ποτένθης.
Χαῖρε, Ἄδων' ἀγαπατέ, καὶ ἐς χαίροντας ἀφικνεῦ.

V. 146. ὅσα P. — ἴσαντι c. ἴσαται w. — πανολβέαι Ott. Junt. Ald. Med. — γλυκύφωνος sic vulgo cum D. N. O. Z, Ald. Med. Reisk. Harles. γλυκυφωνεῖ w, Vat. Valck. Gaisf. Kiessl. sic A, in quo corrector γλυκύφωνος. γλυκὺ φωνεῖ G. L. P. Y, Junt. γλυκύφω sic p ap. Sanctam. γλυκυφωνῇ Brunck.

V. 147. κὴς Call. Brunck. Kiessl.

V. 148. ἅπαν w, Vat. 12, M, in quo γρ. ἄγαν. sic Brunck. Valck. Harles. Gaisf. Kiessl. ἄγαν A. C. D. E. F. G. L. N. O. P. Z, Reisk. — πεινῶντι Vat. 8, F. G. O. πενᾶντι A. D. — δὲ sic cum Vat. 8, p, w, G, Valck. Gaisf. Kiessl. pro vulgat. γὲ quod A. D. F. O, Med. Reisk. Harles. Brunck. — μηδέποθ' ἥκοις a, g, Vat. 5. μηδέποθ' ἥκεις s, Y. μηδέποχ' ἥκεις Vat. 8, G. μηδέποτ' ἔλθοις w. μηδὲ ποτ' ἔνθης p. μηδέποτ' ἔνθης A. D. E. Z, vett. edd. Brunck. μηδὲ ποτένθης cum Casaubono Reisk. Valck. Harles. Gaisf. Kiessl. ἔνθης Ott.

V. 149. χαῖρ' Vat. ap. Sanctam. — ἀγαπατέ sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀγαπητέ, quod A. L. N. O. P. Y. Z, Reisk. Harles. vett. edd. — ἀφικεῦ c, k, p, Vat. 9, 12, M. P. ἀφίκευ w, C. E. K. L. M. P. Y.

---

146. Σχολ. νεωτ. Ὄσσα, θαυμαστικόν, s. l. E. N. Ἰσατι, γινώσκει, s. l. M. Γλυκυφωνει, λίαν ἐμμελὲς ᾄδει, s. l. E. N.

147. Σχολ. νεωτ. Κ' εἰς οἶκον, ἐλθεῖν δηλονότι, s. l. M. ἀπελθεῖν ἡμᾶς, s. l. E. N. Ἀνάριστος, ἄγευστος, μὴ ἠριστηκὼς ἢ φαγὼν ὁ ἀνήρ σου, s. l. M. ἄσιτός ἐστιν, s. l. E. N.

148. Σχολ. νεωτ. Χὼ' νηρ. Καὶ ὁ ἀνήρ, ὅτε ἐστὶν ἄσιτος δηλαδή, λίαν δριμύτατός ἐστιν ὑπ' ὀργῆς, s. l. E. N. Ὄξος, ὀξύχολος ἄγαν, s. l. M. Ποτενθηις, ἐκείνῳ προσέλθῃς, s. l. M.

149. Σχολ. νεωτ. Χαιροντας, τοὺς ἐν τῷ ᾅδῃ, s. l. E. Αφικευ, ἄπελθε, s. l. E. ἐλθέ, ὑπόστρεψον, ἀφίκου, s. l. M.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΈΚΤΟΥ ΚΑΙ ΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν [1] Ἱεροκλέους, τὸν ἔσχατον Σικελίας τύραννον· κατέσχε δὲ τὴν ἀρχὴν στρατηγὸς [2] ὑποδειχθεὶς [3] ὑπὸ τῶν πολιτῶν, καὶ φθείρας τὰς δυνάμεις, ὥςτε τύραννον αὐτὸν [4] ἀγορευθῆναι· μετὰ δὲ τοῦτον ἦρξεν Ἱέρων ὁ Γέλωνος. μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος [5] ὁ Θεόκριτος τὸ εἰδύλλιον τοῦτο πεποίηκε, καὶ Χάριτας αὐτὸ ἐπέγραψεν· [6] ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ [7] αὐτὸν ἔχειν δύο κιβώτια, τὸ μὲν [8] Χαρίτων, τὸ δὲ [9] Διδόντων· [10] ὅτε οὖν τις [11] παρ' αὐτὸν

---

(1) τὸν Ἡρακλέους B, Colb. τὸν Ἡρακλέα D. τὸν Ἱεροκλέους υἱόν Y. — (2) ἀποδειχθεὶς B. D, Gaisf. ἀναδειχθεὶς Y. — (3) ὑπὸ om. B. D. — (4) ἀναγορευθῆναι B. D. Y, Colb. Gaisf. — (5) ὁ Θεόκριτος διὰ τοῦτο τὸ εἰδύλλιον τοῦτο B. D. M. ὁ Θεόκριτος παρὰ τοῦ Ἱέρωνος, διὰ τοῦτο Χάριτας τὸ εἰδύλλιον τοῦτο ἐπέγραψε. περὶ ὧν καὶ λέγει τὰ Σιμωνίδου κιβώτια ἐμφαίνειν. ἔλεγον γὰρ ἐκεῖνον ἔχειν κιβ. δύο Y. — (6) ἐμφαίνει δὲ διὰ τούτου τὰ τοῦ Σιμωνίδου κιβώτια· λέγεται γὰρ ἐκεῖνον ἔχειν δύο κιβώτια, τὸ μὲν Χαρίτων, τὸ δὲ Δωρεῶν πεπληρωμένον M. — (7) ἐκεῖνον Colb. — (8) τῶν Χαρίτων D. — (9) τῶν Διδόντων D. — (10) ὅτε οὖν τις ἔγραψεν αὐτῷ χάριν καὶ παρεγένετο μισθὸν αἰτῶν, ἐκέλευε τὰ κιβώτια φέρειν καὶ δεικνύναι τῷ αἰτοῦντι ἀνεῳγμένα Y. — (11) πρὸς αὐτὸν B. D.

Digitized by Google

παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ [1] κιβώτια. εὑρίσκετο οὖν τὸ μὲν τῶν Χαρίτων κενόν, [2] τὸ δὲ τῶν Διδόντων πλῆρες, καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

[Ἐγκωμιαστικόν. M. Δωρίδι. L. M. P.]

---

(1) κιβ. καὶ δεικνύειν αὐτὰ ἀνεώξαντα· εὑρίσκετο B. D, Colb. — (2) τὸ δὲ ἕτερον πλῆρες M. καὶ οὕτως ἀνεκόπτετο τὴν δωρεὰν αἰτῶν Y.

Digitized by Google

ARGUMENTUM

IDYLLII XVI.

SCRIPTUM est hoc carmen in laudem Hieronis, Hieroclis filii, regis tum eximia temperantia et moderatione, tum bellica laude, in pugnis cum Carthaginiensibus parta, præclarissimi. Procedit poëta a querelis de turpi plurimorum principum avaritia, quæ et gloriæ et laudis studium restinguat, nec eos poëtas, virtutis præcones, meritis præmiis afficere sinat, quum tamen nihil sit præclarius, nihil exoptatius, quam posteritatis cum laude memoria, quæ, nisi poëtarum studio accedente, comparari nequeat.—59. Tum ad Hieronis virtutes celebrandas progreditur ita, ut, eum ex sordidorum illorum numero eximens, munificentiæ et liberalitatis laude exornet.—82. Subjiciuntur vota pro futura urbis Syracusarum incolumitate—97. et Hieronis, cui illæ invidendam suam felicitatem debeant, famam per omnem terrarum orbem illustrem fore auguratur.—103. In poëmatis exitu Gratias invocat rogatque, ut carminibus suis gratiam inter homines concilient.—Scriptum est hoc carmen tempore belli punici, postquam Hiero jam fœdus cum Romanis junxerat.—Est carmen epicum, encomii speciem referens.—Bene de eo meritus est Ahlwardtus in libro: *Zur Erklærung der Idyllen Theokrits*, p. 161 sqq.

Digitized by Google

ΧΑΡΙΤΕΣ Η ΙΕΡΩΝ.

ΕΙΔΥΛΛΙΟΝ ιϛ'.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
Ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μῶσαι μὲν θεαὶ ἐντί, θεοὺς θεαὶ ἀείδοντι·

Χάριτες καὶ Ἱέρ. A.

V. 1. εἴ τοι τοῦτο g, h, l, x, Ott. A. F. N. O. Z, Med. Ald. vett. edd. Reisk. αἰεὶ τ. w, Junt. Call. Steph. Brunck. Valck. Harles. Gaisf. Kiessl. αἰεὶ τ. et in marg. γρ. εἴ τοι τ. D. — κούραις sic vulgo cum A. D. F. K. N. O. P. Y. Z, Reisk. Harles. κώραις Valck. Gaisf. Kiessl. — μέλλει p. — ἀοιδοῖς w, Vat. Call. Harles. Valck. Gaisf. Kiessl. Brunck. ἀοιδαῖς c, e, g, h, l, x, A. F. K. M. N. O. Y. Z, Ald. vett. edd. Junt. Steph. Reisk.

V. 2. ἀθανάτ' (ambigua abbreviatio) p. ἀθανάτως A, Wintert. Brunck. — ἡμῖν ἀγαθῶν (sic) F.

V. 3. μοῦσαι p, Y. — θεὼς Wintert.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ. ΤΡΙΚΑΙΝΙΟΥ. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ ϛίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρθ', ὧν τελευταῖος· Ἀνθρώποις ἀπάνευθεν; αἰεὶ χαρίτεσσιν ἄμ' εἴην! M.

1. ΣΧΟΛ. ΝΕΩΤ. ΚΟΥΡΑΙΣ, ταῖς Μούσαις, s. l. M. ΜΕΛΕΙ, διὰ φροντίδος ἐϛί, s. l. M.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΑΘΑΝΑΤΟΥΣ, τοὺς θεούς, s. l. M.

3. ΣΧΟΛ. ΝΕΩΤ. ΘΕΑΙ ΕΝΤΙ. Αἱ μὲν Μοῦσαι, φησί, θεαί εἰσι καὶ θεοὺς ἐν ᾠδαῖς ὑμνοῦσι καὶ ἀεὶ τοῦτο αὐταῖς μέλει· ἡμεῖς δὲ βροτοὶ ὄντες, καὶ βροτοὺς ᾄδομεν. M.

Digitized by Google

Ἄμμες δὲ βροτοί, οἱ δὲ βροτοὺς βροτοὶ ἀείδωντι.
Τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ, 5
Ἁμετέρας Χάριτας πετάσας ὑποδέξεται οἴκῳ
Ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπεμψεῖ;
Αἱ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,

V. 4. Post οἱ δὲ distingunt n, p, O. P, Commelin. Kiessl. qui οἴδε cum eadem edidit. et sic r in quo corr. punctum posuit post βροτοί. — βροτὰ βροτοὶ p. βροτοὶ βροτοὺς k, Colb. Taur. B. D. L. — ἀείδοντι a, c, e, g, h, l, p, s, w, x, Ott. Vat. 3, 5, 9, 12, A. F. K. M. O. Y. Z, Ald. Med. Junt. vett. edd. Reisk. Brunck. ἀείδωμες k, Colb. Taur. B. D. L, Gaisf. Kiessl. ἀείδομες P. ἀείδωμεν Call. Harles. ἀείδωντι Valck.

V. 5. νεούσιν p, ap. Sanctam. ναίοντι Brunck. — ἠῶ Ott. A. B. D. F. K. Y. Z, Ald. Call. Steph. vett. edd.

V. 6. ἁμετέρας sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἡμετέρας quod A. D. F. Y. Z, Reisk. Harles. ἁμετέραις w. ὑμετέρας Vat. 12. — ἐπέτασας Y. — κόλπῳ pro οἴκῳ w (in quo eadem manu suprascr. οἴκῳ) L. P.

V. 7. ἀσπασίας Vat. ap. Warton. — ἀδωρήτους sic vulgo cum A. F. K. N. O. P. Y. Z, Reisk. Harles. ἀδωρήτως p, Wintert. Brunck. Valck. Gaisf. Kiessl. ἀδωρήτας sic w ap. Warton. — ἀποπεμψῆ a. ἀποπέμψει w.

V. 8. σκυδόμεναι k, Colb. Taur. B. D, in quo corr. σκυζόμ. σκυξόμεναι A. — γυμναί L. — ἴασιν K. M. Y, Kiessl. ἴασι et in marg. ἰεῖσι O. ἰεῖσι et in marg. ἴασιν N.

---

5. Σχολ. παλ. Ἡμετερας χαριτας. Τὰ οἰκεῖα ποιήματα. — Σχολ. νεωτ. Γλαυκαν, λαμπράν, λευκήν, s. l. M. Ναιουσιν, οἰκοῦσιν, s. l. M. Ὑπ' αω, τὴν ἡμέραν, ἤγουν ὑπὸ τὸν ἥλιον, s. l. M.

6. Σχολ. νεωτ. Ἁμετερ. τὸν πρὸς χάριν γινόμενον ἡμέτερον ὕμνον, s. l. M.

7. Σχολ. νεωτ. Ασπασιως, ἡδέως, s. l. M.

8. Σχολ. παλ. Σκυζομεναι. Λοιδοροῦσαι. τὸ σκύζειν κυρίως ἐπὶ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάσῃ ὀργιζόμε-

Digitized by Google

Πολλά με τωθάσδοισαι, ὅτ' ἀλιθίαν ὁδὸν ἤνθον·
Ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλοῦ 10
Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,

V. 9. τωθάζοισαι p, w. — ἀλιθίαν sic cum Brunck. Valck. Gaisf. Kiessl. ἀλιθίην vulgo Vat. ap. Sanctam. cum glossa ἀλλοτρίην, Brubach. Steph. Harles. ἀληθείαν a, h. ἀληθήνν e. ἀληθίην k, p. ἀλαθίην Vat. 3, 12. ἀλητείην g, x, Ott. A. F. N. O. Z, Med. Ald. Reisk. ἀληθίην et corr. ἀλιθίην B. D. Y. ἀλλοτρίην pro ἀλιθ. c, w, K. L. M. P. — ὁδὸν om. a, g, x, A. F. N. — ἤλθον p, w.

V. 10. ἐν πυθμ. k, Colb. D, Junt. — χηλοῦ vulgo et A. D. Y. Z, Reisk. Harles. χηλῶ Wintert. Brunck. Valck. Gaisf. Kiessl.

V. 11. δὲ pro ἐν w, L. P. — γεινάτεσσι Y. — μίμνονται A. — βαλούσαι w.

νος. λέγεται δὲ ἡ τῶν ὀφρύων κάθεσις ἐπισκύνιον. τοῦτο δὲ ποιεῖ ὁ λέων, ὅταν κυσὶ [1] κυκλωθῇ, καὶ μέλλῃ πολεμεῖν αὐτοῖς.— ΣΧΟΛ. ΝΕΩΤ. Αἱ ΔΕ, αἱ Χάριτες, s. l. M. ΣΚΥΖΟΜ. ὀργιζόμεναι, s. l. M. ΓΥΜΝΟΙΣ, ἤγουν κεναῖς χερσίν. s. l. M.

9. ΣΧΟΛ. ΠΑΛ. ΑΛΙΘΙΗΝ. Ἤγουν ματαίαν ὁδόν, ἀλλοτρίαν, πεπλανημένην· ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶ. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΩΘΑΖ. τωθάζουσαι, ὀνειδίζουσαι, s. l. M. ΑΛΛΟΤΡΙΗΝ, γρ. ἀληθείην (sic) ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ, s. l. M.

10. ΣΧΟΛ. ΠΑΛ. [ΕΠΙ ΠΥΘΜΕΝΙ, Ἐν τῷ πυθμένι, φησί, τοῦ κενοῦ μένουσι κιδωτίου, ὅπου αὐτῶν ἐστὶν ἡ συνήθης καθέδρα, ἐγκαλυψάμεναι τὴν κεφαλήν, καὶ ἐν τοῖς γόνασι κλίνασαι, ὡς λυπούμεναι, ὅταν ἄπρακτοι γένωνται. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΟΚΝΗΡΑΙ, ῥᾴθυμαι, s. l. M. ΠΥΘΜΕΝΙ, ἤγουν ἐν τῷ πυθμένι τοῦ κενουμένου κιδωτίου, s. l. M.

11. ΣΧΟΛ. ΝΕΩΤ. ΨΥΧΡΟΙΣ, ἀσθενέσι, s. l. M.

---

(1) περικυκλωθῇ κ. μ. πρὸς αὐτοὺς παρατάσσεσθαι M.

Digitized by Google

Ἔνθ' αὖη σφίσιν ἕδρα, ἐπὰν ἄπρακτοι ἵκωνται.
Τίς τῶν νῦν τοιόςδε; τίς εὖ εἰπόντα φιλασεῖ;
Οὐκ' οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργμασιν, ὡς πάρος, ἐσθλοῖς

V. 12. αἰεὶ c, k, s, w, Colb. Taur. Vat. 3, 9, 12, B. D. K. L. M. P. Y. αὖη A. F. N. O. Z. αὖει a, Vat. 5. αὖην p. — σφιν a, g, h, l, p, s, w, Colb. Vat. 3, 5, 9, 12, A. B. D. F. N. O. Y. Z, Ald. Call. vett. edd. — ἕδρα sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἕδρη quod p, A. B. D. F. N. O. Z, Reisk. Harles. ἕδραι w, Vat. 3, 9, 12, K. L. M. P. Y. — ἄπρηκτοι p, s, Vat. 9, K. Y. — ἵκωνται s, w, Vat. 3, 9, P, Brunck. Valck. Gaisf. Kiessl. ἵκωντι B. D, Steph. Reisk. Harles. ἵκοντι e, g, h, x, Ott. A. F. N. O. Z, Junt. Ald. Call. Med. vett. edd. ἵκανται K.

V. 13. φιλασεῖ w. φιλήσει p, Y. φιλασεῖς Z.

V. 14. οἶδα γάρ, omisso οὐ, w. — ἔργοις vulgo A. F. O, Z et N a man. 1ª, et corr. in marg. ἔργμασιν. sic Reisk. Harles. ἔργοισι a. ἔργοισιν p. ἔργασιν P. εἴγασιν D. ἔργμασιν k, s, w. Taur. Vat. 3, 9, 12, M. Y, Brunck. Valck. Gaisf. Kiessl. — ἐσλοῖς p, Brunck. ἐθλοῖς et corr. ἐσθλοῖς B. D.

---

12. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΙΣΙΝ, αὐτοῖς, s. l. M. ΙΚΩΝΤΙ, ἔλθωσι, s. l. M.

13. ΣΧΟΛ. ΝΕΩΤ. ΕΥ ΕΙΠΟΝΤΑ, τὸν ἀοιδὸν τὸν ἐπαινέσαντα αὐτὸν φιλήσει, s. l. M.

14. ΣΧΟΛ. ΠΑΛ. [ΟΥΚ ΟΙΔΑ. Οὐκ οἶδα, φησί, τίς ἐςι νῦν ὃς τὸν ἐπαινοῦντα ἀγαπήσειε καὶ δώροις ἀμείψαιτο. οὐ γὰρ σπεύδουσιν ἄνθρωποι ἀγαθά τινα πράττειν καὶ ἐπαινεῖσθαι· ἀλλ' ὑπὸ κέρδους νενίκηνται, καὶ πάντες πρὸς τὸ λαβεῖν βλέπουσι, καὶ οὐδὲ τὸν τοῦ ἀργύρου ἶον ἀποτρίψας τις δοίη τινί. M. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΡΓΜΑΣΙΝ, ἔργοις, s. l. M. ΩΣ ΠΑΡΟΣ, πρότερον, s. l. M. ΕΣΘΛΟΙΣ, ἀγαθοῖς, s. l. M.

Digitized by Google

Αἰνεῖσθαι σπεύδοντι· νενίκανται δ' ὑπὸ κερδέων. 15
Πᾶς δ', ὑπὸ κόλπῳ χεῖρας ἔχων, πόθεν αὔξεται ἀθρεῖ
Ἄργυρον· οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη·
Ἀλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ κνήμα·

V. 15. σπεύδουσι L. P. — νενίκανται sic cum w, M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. νενίκηνται quod A. B. D. Y. Z, Reisk. Harles. νενίκαντι L. P. νενίκαται c. νενίκηται F. — κερδῶν B. κερδῶ, et corr. κερδεῶν D. κερδαίων Y.

V. 16. κόλπου vulgo A. Z, Reisk. Harles. κόλπῳ sic cum c, k, p, s, w, Colb. Taur. Vat. 3, 9, 12, D. M. P. Y, Junt. Wintert. Brunck. Valck. Gaisf. Kiessl. — αὔξεται e, g, h, l, x, Ott. Ald. vett. nonnullæ edd. Reisk. Harles. Valck. Gaisf. Kiessl. αὕσεται a, p, s, Vat. 3, 5, 9, 12, Y, vulgo οἴσεται w, B. D. K. L. M. P, Call. Junt. Steph.

V. 17. ἄργυρος g, h, l, x, Ott. Ald. vett. edd. nonnullæ Reisk. Brunck. Valck. Harles. Gaisf. ἄργυρον w, B. D. K. L. M. P. Y, Call. Junt. Steph. Kiessl.

V. 18. μυθεῖσθαι Colb. Taur. B. D. — ἀπωτέρω sic cum L, Ald. Call. vett. nonnullis edd. Valck. Gaisf. Kiessl. pro vulgat. ἀποτέρω quod p, Reisk. Harles. — ἢ γ. B et D, in quo corr. ἢ. ἢ δόνις L. ἤδονες P. — κνήμα Junt. Call. Steph. Valck. Harles. Gaisf. Kiessl. κνάμα P, Wintert. Brunck. κνᾶμα L. κνήμας g, A. N. O. Z, Ald. Reisk. κνήμης s, Y. κνάμας a, c, e, h, k, l, p, x, Ott. Colb. Taur. Vat. 5, 10, B. D. K. M. κνάμαι w.

---

15. ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΝΕΙΣΘΑΙ, ἐπαινεῖσθαι, s. l. M. ΝΕΝΙΚΑΝΤΑΙ, νενίκηνται γὰρ ὑπὸ κέρδους, s. l. M.

16. ΣΧΟΛ. ΝΕΩΤ. ΥΠΟ ΚΟΛΠΩ, κεκρυμμένας, s. l. M. ΟΙΣΕΤΑΙ, λήψεται, s. l. M. ΑΘΡΕΙ, βλέπει, s. l. M.

17. ΣΧΟΛ. ΝΕΩΤ. ΙΟΝ, τὸν τοῦ ἀργύρου ἰὸν τρίψας καὶ καθάρας, αὐτὸν δοίη τινί, s. l. M.

18. ΣΧΟΛ. ΠΑΛ. ΑΠΩΤΕΡΩ Η ΓΟΝΥ ΚΝΑΜΑ. Παροιμία ἐστὶ τὸ πορρωτέρω ἡ κνήμη τοῦ γόνατος. τίθεται δὲ αὕτη ἐπὶ τῶν ἀγαπώντων ἑαυτούς, καὶ λεγόντων προτιμωτέρους

Digitized by Google

Αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς·
Τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος. 20
Οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν.
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς

V. 19. αὐτοῦ Vat. 9, Y. — τιμῶντι Brunck. — ἀοιδὼς Winterton.

V. 20. ἅλις ἀκούσαι ἄλλου e, h, l. θέλει pro ἅλις Vat. 3. ἐθέλει Vat. 12. αὖθις ἀκοῦσαι ἄλλου g, Ott. N. Z, Ald. Junt. ἀκοῦσαι ἅλις ἄλλου p. ἄλλου ἀκοῦσαι ἅλις w. ἅλις ἀκοῦσαι ἄλλου F, sic A et O in quibus corr. αὖθις ἀκοῦσαι ἄλλου. κἄλλον ἀκοῦσαι· ἅλις, omisso κεν, P. ἀκοῦσαι ἅλις M. — παντες p. — ὁμήρου c, w, K. L. P. ὅμηρον p.

V. 21. ὁδ' ἐξ Brunck. — ἥσεται p.

V. 22. μυρίος w, L. P, Valck. — ἔσθ' ὅτι w, L. P, pro ἔνδοθι.

εἶναι [1] αὐτοὺς τῶν ξένων· οἱ γὰρ πορρωτέρω οὐδὲν πρὸς ἡμᾶς εἰσίν. ἐνήλλακται δὲ ἡ παροιμία, εἰ λεχθήσεται χωρὶς ὑποδιαστολῆς. ἔδει γὰρ οὕτως εἰπεῖν· πορρωτέρω κνήμη γόνυος. εἰ δὲ μετὰ ὑποδιαστολῆς, οὐκ ἐνήλλακται.

19. ΣΧΟΛ. ΝΕΩΤ. ΓΕΝΟΙΤΟ, τί ἐμοὶ αὐτοῦ (sic) γένοιτο, εἴ σοι δοίην τι τῶν ἐμῶν θηλονότι; s. l. M. ΑΟΙΔΟΥΣ, τοὺς ποιητάς, s. l. M.

20. ΣΧΟΛ. ΝΕΩΤ. ΑΚΟΥΣΑΙ, θέλει ἀκοῦσαι, s. l. M. ΑΛΙΣ, ἀρκεῖ πᾶσιν Ὅμηρος· οὐ χρεία ἑτέρων ποιητῶν, s. l. M.

21. ΣΧΟΛ. ΝΕΩΤ. ΑΟΙΔΩΝ, ποιητῶν, s. l. M. ΛΩΙΣΤΟΣ, κρείττων, s. l. M. ΟΙΣΕΤΑΙ, κομίσεται, λήψεται, s. l. M.

22. ΣΧΟΛ. ΝΕΩΤ. ΔΑΙΜΟΝΙΟΙ, ἀθλιότατοι, s. l. M. Ὁ ΜΥΡΙΟΣ, ὁ πολύς, s. l. L. ΕΝΔΟΘΙ, ἐντὸς οἴκου, s. l. M.

---

(1) αὐτὸν τὸν χρυσὸν ἔχειν τῶν ξένων M.

Digitized by Google

Κείμενος; οὐχ ὧδε πλούτου φρονέουσιν ὄνασις·
Ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
Πολλοὺς δ' εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων 25
Ἀνθρώπων· αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν·
Μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζᾳ
Μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλῃτι νέεσθαι·

V. 23. οὐχ ὧδε sic vulgo cum a, c, e, g, h, l, p, s, x, Ott. Vat. 3, 9, 10, 12, A. F. K. M. N. O. Y. Z, Ald. vett. nonnullæ edd. Reisk. Harles. ἄδε Call. vett. nonnullæ edd. Steph. Warton. Valck. Gaisf. Kiessl. οὐχὶ δὲ w, L. P. πλούτῳ Winterton. — τοῖς φρον. p et a (conjiciente Gaisford.) φρονέοισιν A. φθονεούσιν Vat. voc. om. w. — ὄνησις w.

V. 24. ψυχρᾷ w. — που pro καὶ c, w, K. M. sic omisso τινί L. P.

V. 25. πολλῆς δ' B. πολλὼς bis Wintert. — ῥέξαι Tolet. — πηῶν w, K. L. M. P. πασῶν Y. — ultimum δὲ om. p.

V. 26. ῥέξειν P. ῥέσδειν Brunck.

V. 27. ξυνοδόκον Vat. ap. Sanctam. cum glossa ξενοδόχον. — τραπέζᾳ sic cum Valck. Gaisf. Kiessl. pro vulgat. τραπέζῃ quod A. D. F. K. Y. Z, Reisk. Harles. τραπέσδᾳ Winterton. Brunck. τράπεζαι (sic) w ap. Warton.

V. 28. ἀποπέμψοι c. — ἐπὴν w, P. Y. — ἐθέλῃτι sic cum Reisk. Gaisf. Kiessl. ἐθέλητι g, l, x, Ott. Ald. Call. vett. edd. ἐθέλοντι p, w, B. D. K. M. Y, Brunck. Steph. Commel. Warton. ἐθέλωντι Junt. Steph. ed. maj. Wintert. ἐθέλουσι P.

---

23. Σχολ. νεωτ. Οὐχ ὧδε, οὕτως, s. l. M. Ονασις, ὄνησις, ὠφέλεια, s. l. M.

24. Σχολ. νεωτ. Ψυχαι, πρέπει διδόναι, s. l. M. Αοιδων, ποιητῶν, s. l. M.

25. Σχολ. νεωτ. Ευ ερξαι, καλῶς πρᾶξαι, s. l. M. Παων, συγγενῶν, s. l. M.

26. Σχολ. νεωτ. Επιβωμια, θύματα, s. l. M. Ῥεξειν, πράττειν, θύειν, s. l. M.

28. Σχολ. νεωτ. Μειλιξαντ', θεραπεύσαντα, ἱλαρύ-

Digitized by Google

Μουσάων δὲ μάλιστα τίεεν ἱερὸς ὑποφήτας·
Ὄφρα καὶ εἰν ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς, 30
Μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχρῷ Ἀχέροντος,
Ὠρεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας

V. 29. μωσάων Brunck. — ἱερὸς Wintert.

V. 30. ὄφρα καὶ εἰν sic cum c, k, s, w, Colb. Taur. D. M. Y, Junt. Steph. Wintert. Valck. Br. Gaisf. Kiessl. pro vulgat. ὅ. κε κ' εἰν quod F. N. O. Z, Ald. Call. Reisk. Warton. Harles. ὅ. κήν p. ὅ. κ' εἰν Vat. A. — ἀΐδα s, w. — κεκριμένος w. κεκρυμμένοι Y. — ἐσθλὸς w, vett. edd. omnes excepto Call. qui ἐσθλὰ cum Vat. 3, sic Reisk. ἐσθλὸν Colb. Taur. Vat. 9, B. D. Y. — ἀκούῃ w, K. L. M. P. ἀκούει c.

V. 31. ἀκλεὴς w, L. P. ἀλεὴς Vat. 3. — μύρεαι p, Vat. 3, Ald. vett. edd. μύρῃ καὶ c. μύραι Call. μύριαι Z. μύρεσθαι w, L. μύρασθαι D. P. μύραιη, μύρναι Vatt. ap. Warton. — ψυχρῷ sic cum Wintert. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. ψυχροῦ quod A. P. Y. Z, Reisk. Harles.

V. 32. ὡς εἴ τις B. D. Y. — μακέλᾳ w, Steph. μακέλῃ p, Ott. A. Y, Call. vett. edd. μαλέλῃ Ald. μακλέλῃ Z. — τετυπώμενος w. τετυλωμένοι Y. — ὕψοθι pro ἔνδοθι L. P. — χέρας L. P.

ναντα, s. l. M. ΕΠΑΝ, ἠνάκα, s. l. M. ΝΑΙΕΣΘΑΙ, πορεύεσθαι, s. l. M.

30. ΣΧΟΛ. ΝΕΩΤ. ΟΦΡΑ, ἵνα, s. l. M. ΕΙΝ ΑΙΔΑΟ, ἐν ᾅδου, s. l. M. ΕΣΘΛΟΣ, ἀγαθός, s. l. M.

31. ΣΧΟΛ. ΝΕΩΤ. ΜΗΔ' ΑΚΛΕΗΣ ΜΥΡΗΑΙ, ἄδοξος ὢν ὀδύρῃ, s. l. M.

32. ΣΧΟΛ. ΝΕΩΤ. ΩΣ ΕΙ, ὥςπερ τίς, s. l. M. ΜΑΚΕΛΑι, μακέλῃ, ἤγουν τῇ κοινῶς τζάπῃ. s. l. M. ΤΕΤΥΛΩΜΕΝΟΣ, ἤγουν τύλους ἐντὸς τῆς παλάμης ἔχων ἀπὸ τῆς μακέλης, γεωργός, s. l. M. ΧΕΙΡΑΣ, ὅλον καὶ μέρος, s. l. M.

Digitized by Google

Ἀχήν, ἐκ πατέρων πενίαν ἀκτήμονα κλαίων.
Πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
Ἁρμαλιὰν ἔμμηνον ἐμετρήσαντο Πενέσται· 35

V. 33. ἀχὴν sic cum k, s, Colb. Taur. Vat. 9, D. Y, Junt. Steph. in marg. Reisk. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. δεινήν, quod F. N. Z, edd. omnes, Dahl. Harles. ἀχὴν et suprascr. γρ. δεινὴν A. εὐχὴν c, p, w, Vat. 3, 5, 10, K. L. P et M in quo in marg. δεινὴν. εὐχὴν vel ἀχὴν a ap. Gaisf. ἀρχὴν e, x, O, in quo corr. δεινὴν. οὔλην Tolet. — πενίαν Wintert. Brunck. Valck. Gaisf. Kiessl. πενίην N, Y. Z, Reisk. Harles. πένην A.

V. 34. πολλοί δ' A. c, w, K. M. πολλαί δ' ἐν A. L. P. — Ἀλειὰ B.

V. 35. ἁρμαλιὰν sic cum Wintert. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. ἁρμαλιὴν quod A. D. F. Z, Reisk. Harles. ἁρμαλίην Y. ἁρμαλίνην h. ἁρμολιὴν B. ἅρμα λίηνον L. ἅρμα λίκνον P. — ἐπεμετρίσαντο w.

---

34. ΣΧΟΛ. ΠΑΛ. ΑΝΤΙΟΧΟΙΟ. Ἀντὶ τοῦ ἄγαν πλούσιος, ὥςτε πολλοῖς παρέχειν τροφήν. ἀλλ' οὐδὲν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου [1] ὑμνήθησαν. Ἀντίοχος δὲ βασιλεὺς τῆς Συρίας. τὰ δὲ περὶ [2] Ἀλεύαν τὸν Σιμίου πάντα [3] ἀνείλεκτο Εὐφορίων. ὁ δὲ Ἀντίοχος [4] Ἐχεκρατίδου καὶ Σύριδος υἱὸς ἦν, ὡς φησι Σιμωνίδης. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΑΚΤΟΣ, τοῦ υἱοῦ Σιμίου, s. l. M.

35. ΣΧΟΛ. ΠΑΛ. ΠΕΝΕΣΤΑΙ. Θεόπομπός φησι τοὺς δουλεύοντας [5] τῶν ἐλευθέρων Πενέστας καλεῖσθαι παρὰ Θεσσα-

---

(1) Sic cum M pro vulgato ὑμνήσθησαν. minus recte Gaisford. ὑμνήσθησαν. — (2) Ἀλεύα M. — (3) *omnia collegit Euphorio.* Vulgatam ἀνείλετο mutavit Reisk. Vide Toup. *Kiessl.* ἀνείλεται M, Can. Vale. — (4) Sic cum M pro vulgat. Ἐχεκράτιδος. Σίριδος M. Δυσήριδος emendavit Valesius, ex Aristide T. I, p. 75, ed. Jebb. *Gaisf.* — (5) τοῖς ἐλευθέροις M.

Digitized by Google

Πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακόν
Μόσχοι σὺν κεραῆσιν ἐμυκήσαντο βόεσσι·

V. 36. σκοπάδεσσιν c, g, l, s (a 1ª, man.) K. M. Z, Ald. σκοπάδησιν L. P. σκοπιάδεσσῖ w. σκιμπούδεσιν Vat. 12. σκοπάδαισσιν vett. nonnullæ edd. σκοπάδαισιν Call. Steph. unde recent. edd. — σακοὺς c, k, s, w, Colb. Taur. Vat. 12, B. D. M. Y, Gaisf. σηκοὺς p, L. P. σακὰ Vat. 3. σακκοὺς K. σακὼς Brunck.

V. 37. σὺν om. p. — κεραῆσιν sic cum c, k, p, w, Colb. Taur. D. M. P, Brunck. Valck. Gaisf. pro vulgat. κεραοῖσιν quod A. F. N. O. Y. Z, Reisk. Harles. κεράεσσι Vat. 9. κερααῖσιν Kiessl. — ἐμυκάσαντο c, w, Vat. 3, M. Y, Brunck. Kiessl. vulgo ἐμυκήσαντο Reisk. Harles. Valck. Gaisf. — βόεσσιν K. M.

λοῖς, ὡς παρὰ Λακεδαιμονίοις Εἵλωτας. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΜΑΔΙΗΝ, ἤγουν τροφὴν κατὰ μῆνα ἔλαβον ἐν μέτρῳ οἱ πένητες, s. l. M.

36. ΣΧΟΛ. ΠΑΛ. ΣΚΟΠΑΔΑΙΣΙΝ. [πολλούς, φησί, μοσχοὺς εἶχον οἱ Σκοπάδαι, τουτέστι, πολλὰς ἀγελάς. M.] Ἐκ τούτου πολὺν πλοῦτον δηλοῖ. οἱ δὲ Σκοπάδαι Κρανώνιοι τὸ γένος. ΚΡΑΝΩΝ δὲ πόλις Θεσσαλίας, ὅθεν Σκόπας ὁ Κρανώνιος Κρέοντος καὶ Ἐχεκρατίας υἱός. καὶ Σιμωνίδης ἐν [1] Θρήνοις. Σκοπάδαι οὖν οἱ Θεσσαλοί. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΟΠΑΔΑΙΣΙΝ, τοῖς τῶν Θεσσαλῶν ἄρχουσι ἐρχόμενοι πρὸς τοὺς σηκούς, ἤγουν τὰς μάνδρας, s. l. M.

37. ΣΧΟΛ. ΝΕΩΤ. ΚΕΡΑΗΣΙΝ, κεραςφόροις, s. l. M. ΕΜΥΚΑΣΑΝΤΟ, ἐμυκήσαντο, συνηυλίσθησαν μυκώμενοι, s. l. M.

---

(1) ὕμνοις Vulc.

Digitized by Google

Μυρία δ' ἀμπεδίον Κρανώνιον ἐνδιάασκον
Ποιμένες ἔκκριτα μᾶλα φιλοξείνοισι Κρεώνδαις·
Ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν 40
Θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῦ Ἀχέροντος,
Ἄμναστοι δέ, τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες,

V. 38. ἂν πέδιον g, x, Ald. Junt. Call. vett. edd. primus Steph. ἀμπεδίον. ἀν πεδίον Ott. Vat. A. F. N. O. Y. Z. ἄμ πεδ. Kiessl. κραννώνιον k, Colb. Taur. B. D, Junt. κρανώνιον Y. κρανώνινον l. — διάασκον p. ἐνδίασκον h, w. ἐνδεάσκον K.

V. 39. ποιμένων L. P. — ἔκριτα w, Ott. ἔκκρητα O. — μᾶλα sic cum w, Brunck. Valck. Gaisf. Kiessl. pro Vulgat. μῆλα quod A. F. N. Y. Z, Reisk. Harles. — φιλοξείνησι Vat. — κλεώναις a, c, e, g, h, l, x, Ott. A. F. N. O. Z, Ald. κλεωναῖς K. L. M. P. κλεώνες Vat. 5. κλαιώναις Vat. 10. Κερώνδαις p. κρεωνίδων Vat. 12. κρεῶνδες w.

V. 40. ἀλλὰ σφὶν k, Colb. Taur. B. — ἐπὴ K. ἐπὴν Vat.

V. 41. στυγνῶ L. P, Wintert. στυγνοῖο γέροντος Brunck.

V. 42. αἰμναστοὶ et corr. γρ. ἄμναστοι D. — τὰ δὲ πολλὰ L. P. — κεῖνα w, L. P.

---

38. ΣΧΟΛ. ΠΑΛ. [ΕΝΔΙΑΑΣΚΟΝ· ἔτρεφον· ἔνδιον ἡ διατριβή· ἔνδειον δὲ τὸ δειλινόν. Vulc.] — ΣΧΟΛ. ΝΕΩΤ. ΜΥΡΙΑ, πολλά, s. l. M. ΕΝΔΙΑΑΣΚΟΝ, διῃτῶντο, διέτριβον, s. l. M.

39. ΣΧΟΛ. ΠΑΛ. Κρεώνδας δὲ ὁ Σκόπας.

40. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΙΝ, αὐτοῖς, s. l. M. [illegible]ΝΩΝ, τούτων, s. l. M. ΗΔΟΣ, ὄφελος, s. l. M. ΕΞΕΚΕΝΩΣΑΝ, ἐξέχεαν, s. l. M.

41. ΣΧΟΛ. ΝΕΩΤ. ΣΧΕΔΙΑΝ, ναῦν, s. l. M. ΣΤΥΓΝΟΥ, χαλεποῦ, s. l. M.

42. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΝΑΣΤΟΙ, ἄμνηστοι, ἐπιλελησμένοι, s. l. M. ΤΑ ΠΟΛΛΑ, ἤγουν τὸν πολὺν ἐκεῖνον ὄχλον, s. l. M. ΛΙΠΟΝΤΕΣ, ἀφέντες, s. l. M.

Digitized by Google

Δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων
Βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς 45
Ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
Οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.

V. 43. μακρὼς Wintert. — δ' αἰῶνας w. δ' ἰῶνας L. P.

V. 44. κεῖνος pro δεινὸς a, k, p, s, Colb. Taur. Vat. 3, 5, 9, 10, 12, B. D. Y, Gaisf. ὁ θεῖος c, w, K. L. M. P. τήϊος a ιωαν. a², l, s, Vat. 9. — φωγῶν w, L. P. φρονέων Vat. 12. αἰολοφώνέων Brunck.

V. 45. πολύφωνον L. P.

V. 46. ὁπλοτέρους Vat. ap. Sanctam. — τιμᾶς c, Vat. M, Valck. Brunck. Gaisf. Kiessl. τιμὰς A. O. Y. Z, Reisk. Harles. — ἔλαχον A. O.

V. 47. φφίσιν w. σφιν a, g, l, p, x, Vat. 3, 5, 10, A. F. N. O. Z, Ald. — ἦλθον p, Y.

---

43. Σχολ. νεωτ. Δειλοις, δειλαίοις, ἀθλίοις νεκροῖς, s. l. M. Αιωνας, χρόνους, s. l. M.

44. Σχολ. παλ. Αιολα φωνεων. τὸν Σιμωνίδην φησί, παράσον ἐκεῖνος τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν ἐπινίκια ἔγραψε καὶ θρήνους. — Σχολ. νεωτ. Αοιδος, Σιμωνίδης ὁ λυρικός, s. l. M. Αιολα φωνεων, ποικίλα φ[illegible], s. l. M.

45. Σχολ. νεωτ. Βαρβιτον, ὀργάνου εἶδος ἡ βάρβιτος, s. l. M. Θηκεν, ἔθηκεν, s. l. M.

46. Σχολ. νεωτ. Οπλοτεροις, στρατηγοῖς, s. l. M. Ωκεες, ταχεῖς, s. l. M.

47. Σχολ. νεωτ. Σφισιν, αὐτοῖς, s. l. M. Στεφανηφοροι, νικηταί, οὐ γὰρ στεφανοῦνται ἵπποι, s. l. M.

Digitized by Google

Τίς δ' ἂν ἀριστῆας Λυκίων ποτέ, τίς κομόωντας
Πριαμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
Εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί; 50
Οὐδ' Ὀδυσεύς, ἑκατόν τε καὶ εἴκατι μῆνας ἀλαθεὶς
Πάντας ἐπ' ἀνθρώπους, ἀΐδαν τ' εἰς ἔσχατον ἐνθὼν.

V. 48. δ' ἀριστ. w, L. P. δ' ἄρ' ἀρις. c, p. — πόκα Brunck. — τίς δὲ καμόντας c, K. L. M. P. δὲ κομῶντας w. κομάοντας Vat. 3, 9, Y.

V. 49. καὶ pro ἢ c, w, K. L. P. — χροτῆς w. — σκυμνὸν, a man. recent. p. — ἔγνων P.

V. 50. φιλόπιδας p, M. φιλοπίδας K. φυλόπιδας et correct. φιλόπιδας F. — ἀοιδὸν Y.

V. 51. Ὀδυσσεὺς F. — εἴκοτι p, s, Vat. 3, Y. εἴκοσι Vat. 5, P. — ἐλαθεὶς Colb. Taur. ἀληθ. sic p ap. Sanctam.

V. 52. ἀνθρώπως Vat. 3, Winterton. — δ' εἰς w, L. P. εἰς om. B. D. — ἐνθὼν sic cum Vat. 3, Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἐλθὼν quod Y. Z, Reisk. Harles.

---

48. ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΚΛΙΝΙΟΥ. ΑΡΙΣΤΗΑΣ. Ἀριστέας λέγει Λυκίων, Σαρπηδόνα καὶ Γλαῦκον· οὗτοι γὰρ εἰς ἐπικουρίαν ἦλθον τῶν Τρώων, τῶν Λυκίων ὄντες ἄρχοντες. M. ΑΡΙΣΤΕΑΣ, ἡγοῦν κατὰ τὴν τῆς Τροίας ἅλωσιν, s. l. M.

49. ΣΧΟΛ. ΠΑΛ. ΚΥΚΝΟΝ λέγει τὸν Ποσειδῶνος καὶ [1] Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως. λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος. διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος διὰ τὴν χροιάν. Ἡσίοδος δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν. διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν.

50. ΣΧΟΛ. ΝΕΩΤ. ΦΥΛΟΠΙΔΑΣ, μάχας, s. l. M.

51. ΣΧΟΛ. ΝΕΩΤ. ΕΚΑΤΟΝ, ἡγοῦν χρόνους δέκα, s. l. M. ΑΛΑΘΕΙΣ, πλανηθείς, s. l. M.

52. ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΔΑΝ, εἰς τὰ ἔσχατα τοῦ ᾅδου, s. l. M.

---

(1) Vulgo Κήϋκος corr. Toup. Conf. Hygin. fab. 157. *Kiessl.*

Digitized by Google

Ζωός, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
Δηναιὸν κλέος ἔσχεν· ἐσιγάθη δ' ὁ συφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις 55
Ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρταο·
Εἰ μὴ σφᾶς ὤνασαν ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι·

V. 53. σπηλαῖα w, L. P. πήλυγγα M. — ὀλειοῖο Vat. 3.

V. 54. λκναιὴν B, — ἔσχε p. ἔχε w. — ἐσιγάσθη e. ἐσιγάθα K. — δ' ὁ συφορβὸς sic cum c, s, w, Vat. 3, 9, M. Y, Call. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. δ' ἂν ὑφορβὸς quod Ott. A. B. D. F. L. N. O. P. Z, Ald. vett. edd. Reisk. Harles.

V. 55. εὔμαιος sic Ott. ap. Warton. — βωσὶ Wintert. — ἀγελαίας a, x, Vat. 10 cum glossa τὰς ἀγέλας. ἀμφαγελαίαις L.

V. 56. τε om. p. — λαέρτας sic cum Wintert. Valck. Gaisf. Kiessl. pro vulgat. λαέρτης quod A. Y. Z, Reisk. Harles. ἀμφιλαέρτης c, w, K. M. λαίρακις B. D.

V. 57. σφείας w, L. σφέας Brunck. — ὄνασαν w, A. ὤνησαν p.

V. 58. ἀγαθῶν L. — τοῖς ἀνθρώποισι p. ἀνθρώποισιν K. M.

---

53. ΣΧΟΛ. ΝΕΩΤ. ΖΩΟΣ, ζῶν, s. l. M. ΣΠΗΛΥΓΓΑ, τὸ σπήλαιον εἰς ὃ αὐτὸν κατέκλεισεν, s. l. M. ΟΛΟΟΙΟ, ὀλεθρίου, s. l. M.

54. ΣΧΟΛ. ΝΕΩΤ. ΔΗΝΑΙΟΝ, πολυχρόνιον, s. l. M. ΤΡΙΚΑΙΝΙΟΥ. ΕΣΙΓΑΘΗ Δ' ΑΝ ΥΦΟΡΒΟΣ. Ἐν Ὀδυσσείᾳ καὶ τὰ περὶ τούτων Ὅμηρος ἱστορεῖ. ὁ μὲν γὰρ συφορβὸς ἦν Ὀδυσσέως, ὁ δὲ βουκόλος. M.

56. ΣΧΟΛ. ΝΕΩΤ. ΕΡΓΟΝ, πόνον, s. l. M. ΠΕΡΙΣΠΛΑΓΧΝΟΣ, πονηρός, s. l. M.

57. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΑΣ, αὐτούς, s. l. M. ΙΑΟΝΟΣ, τοῦ Ὁμήρου ἀπὸ Ἰωνίας ἤτοι τῆς Χίου, s. l. M.

Digitized by Google

Χρήματα δὲ ζώσντες ἀμαλδύνοντι θανόντων.
Ἀλλ' ἶσος γὰρ ὁ μόχθος, ἐπ' ᾠόνι κύματα μετρεῖν, 60
Ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
Ἢ ὕδατι νίζειν θολερὰν ἰοειδέϊ πλέινθον,
Καὶ φιλοκερδείᾳ βεβλαμμένον ἄνδρα παρελθεῖν.

V. 59. ἀμαλδύνοντι sic cum c, w, M. L. P, Wintert. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. ἀμαλδύνουσι quod Reisk. Harles. ἀμαλδύνουσι, et suprascr. ἀμαλδύνοντι, N. ἀμαλδύνουσιν A. D. Y. Z. — θανόντι L. P.

V. 60. μὲν pro γὰρ Vat. 3. — ὁ om. c, L. M. P. — ἀϊόνι p, Ott. A. B. D. F. N. O. Z, Ald. Call. vett. nonnullæ edd. αἰόνι Brubach. ᾠόνι Steph. unde recentiores edd. ᾠόνι K. M. P. Y. — μετρεῖν, et suprascr. μετρῶν, D.

V. 61. ὠθῇ Vat. 10.

V. 62. καὶ pro ἢ e, g, h, l, x, Ott. F. N. O. Z, Med. Ald. ἢ om. L. P. — ὕδατί τε w, L. P. — θαλερὰν Vat. θηλεύραν Vat. 10. — διαειδέϊ c, k, s, Colb. Taur. Vat. 9, B. D. K. M. Y, Junt. Call. διαειδεως L. P. διειδέϊ p, Vat. 5. διοιδέϊ w. οἰειδέϊ a. ἰοειδέϊ Ald. Steph. vett. edd.

V. 63. φιλοκερδείᾳ sic cum Colb. Taur. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. φιλοκερδείῃ quod Y, w, Call. Steph. Reisk. Harles. φιλοκερδῇ a, p, Vat. 5, 10, A. F. N. O. Z. φιλοκερδῇ, cum Glossa γρ. φιλοκερδεῖα, Vat. ap. Sanctam. φιλοκερδῇ καὶ e, g, h, l, x, Ott. A. F. N. O. Z. — βεβλαμμένον A. F. N. O. Z, Ald. vett. edd. Steph. βεβλημένον s, Vat. 3, 9, M, Reisk. βεβλημμένον Call. — παρενθεῖν Wintert. Brunck. Kiessl. vulgo παρελθεῖν Valck. Reisk. Harles. Gaisf. παρειπεῖν s, a man. 2ª, Vat. 9, Y.

---

59. ΣΧΟΛ. ΝΕΩΤ. ΖΩΟΝΤΕΣ, οἱ ζῶντες, s. l. M. ΑΜΑΛΔΥΝΟΥΣΙ, ἐσθίουσι, s. l. M.

60. ΣΧΟΛ. ΝΕΩΤ. ΜΟΧΘΟΣ, κόπος, s. l. M. ΕΠ' ΑΙΟΝΙ, τῷ αἰγιαλῷ, s. l. M.

61. ΣΧΟΛ. ΝΕΩΤ. ΧΕΡΣΟΝΔΕ, εἰς τὴν χέρσον, s. l. M. ΑΛΟΣ ΩΘΕΙ, ἐκ θαλάσσης πέμπει, s. l. M.

62. ΣΧΟΛ. ΝΕΩΤ. ΝΙΖΕΙΝ, νίπτειν, πλύνειν, s. l. M. ΘΟΛΕΡΑΝ, μέλαιναν, s. l. M.

63. ΣΧΟΛ. ΝΕΩΤ. ΦΙΛΟΚΕΡΔ. τὸν τὰ κέρδη φιλοῦντα,

Digitized by Google

Χαιρέτω ὅςτις τοῖος· ἀνάριθμος δέ οἱ εἴη
Ἄργυρος· αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν. 65
Αὐτὰρ ἐγὼν τιμάν τε καὶ ἀνθρώπων φιλότητα
Πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
Δίζημαι δ' ὅτινι θνατῶν κεχαρισμένος ἔνθω

V. 64. ὃς τοιοῦτος a, k, p, s, Colb. Vat. 3, 5, 10, Y, Brunck. ὅςτις τοιοῦτος B, et D, in quo corr. ὅςτις τοῖος. — ἀνάριθμος c, w, Vat. 3, 9, L. M. P, Kiessl. alii, ἀνήριθμος. — δέ τοι a, p, w, Vat. 5. δέ μοι k, Colb. Taur. Vat. B. L. P, et D, in quo suprascr. δέ οἱ. δέ τι Vat. 10.

V. 65. ἔχει a, l, p, Vat. 10, K. M, in quo χοι sup. χει.

V. 66. ἐγὼν p, Brunck. Valck. Gaisf. Kiessl. — τιμάν sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. τιμήν quod Z, Reisk. Harles. τι μάν w.

V. 68. δίζομαι w, Vat. 12. — δὲ τίνι Reiskius, Harles. aliique. δέ τινι A. F. N. O. Z. δ' ᾧ τινι a, k, p, w, Colb. Taur. Vat. 10, B. D. L. P. δ' ᾧ κεν s, Vat. 9, Y, Brunck. Valck. Gaisf. Kiessl. δ' ἄγε c, Vat. 3, 12, K. M. ὅ τινι Junt. — θνατῷ a, e, h, A. θνατῶ Vat. F. N. O. — κεχαρισμένον w. — ἔνθω et suprasc. ἔνθως. A.

---

s. l. M. ΒΕΒΑΗΜΕΝΟΝ, τετρωμένον, s. l. M. ΠΑΡΕΑΘΕΙΝ, νικῆσαι, s. l. M.

64. ΣΧΟΛ. ΝΕΩΤ. ΧΑΙΡΕΤΩ, φθειρέσθω, s. l. M. ΑΝΗΡΙΘΜΟΣ, ἀνάριθμος, πολύς, s. l. M. ΟΙ, αὐτῷ, s. l. M. ΕΙΗ, ἔστω, s. l. M.

65. ΣΧΟΛ. ΝΕΩΤ. ΕΧΟΙ, ἐχέτω, s. l. M. ΙΜΕΡΟΣ, ἐπιθυμία, s. l. M. ΑΥΤΟΝ, ἐκεῖνον, τὸν φιλοκερδῆ, s. l. M.

68. ΣΧΟΛ. ΝΕΩΤ. ΔΙΖΗΜΑΙ, ζητήσαιμι ἐκεῖνον, s. l. M. ΚΕΧΑΡΙΣΜΕΝΟΣ ΕΝΘΩ, ἤγουν χαρίσομαι, s. l. M.

Digitized by Google

Σὺν Μούσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδᾶν
Μουσάων, ἀπάνευθε Διὸς μέγα βουλεύοντος. 70
Οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανός, οὐδ' ἐνιαυτούς·

V. 69. χαλεποὶ L. — τελέθουσιν sic vulgo cum F. N. O. Y, Z, Reisk. Harles. τελέθοντι c, w, A. L. M. P, Brunck. Valck. Gaisf. Kiessl. — ἀοιδᾶν sic vulgo cum F. N. O. Y. Z, Junt. Call. Ald. Reisk. Harles. ἀοιδοῖς w, Colb. Taur. D. M. P, Brunck. Valck. Gaisf. Kiessl. ἀοιδῆς c. ἀοιδαῖς k. ἀοιδεῦν A.

V. 70. κουράων w, L. P, Junt. Steph. in marg. Warton. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. μουσάων quod nos cum A. B. F. K. M. N. O. Y. Z, Reisk. Harles. μουσάων, et correct. κουράων; D. μωσάων Vat. 12. — μεγάλου a, k, Colb. B. L. P, et D, in quo corr. μεγά. μεγάλου βασιλῆος g, h, l, x Ott. A. F. N. O. Z, Ald. vett. nonnullæ edd. in marg. μεγάλου τ' ἀπ' ἐόντος c, K. M. μεγάλου ἀπεόντος e, s, w, Vat. 9, Y. μεγάλα βασιλεύοντος p. βουλέοντος Vat. 12. μέγα βουλεύοντος Junt. Call. vett. edd. Steph.

V. 71. ὠρανός Brunck. — ἐνιαυτὼς Wintert.

---

69. ΣΧΟΛ. ΝΕΩΤ. ΣΥΝ ΜΟΙΣΑΙΣ, ἤγουν ὕμνον τινὰ καὶ ὠδήν τινα τούτῳ προσκομίσας, s. l. M. ΤΕΛΕΘΟΝΤΙ, εἰσί s. l. M.

70. ΣΧΟΛ. ΝΕΩΤ. ΜΟΥΣΑΩΝ ΑΠΑΝ. χωρὶς τῆς ἀπὸ τῶν Μουσῶν καὶ τοῦ Διὸς βοηθείας, s. l. M.

71. ΣΧΟΛ. ΠΑΛ. Οὔπω, φησίν, ὁ πᾶς διῆλθεν [1] ἀγών, ἔτι ἔσονται πολλοὶ νικηφόροι, παιητῶν χρείαν [2] ἔχοντες. ἐκ γὰρ τῶν ἵππων καὶ τῶν τροχῶν τοὺς ἱερονίκας δηλοῖ. ἡ τρόχων ἅρματος τὸν τῇδε λέγει, ἀντὶ τοῦ πολλαὶ ἔσονται μεταβολαί. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΚΑΜ' ΟΥΡΑΝΟΣ, οὐ κάμνει γὰρ τοὺς μῆνας καὶ τοὺς χρόνους ποιῶν. τοῦτο δὲ διὰ τὸ ἀεὶ κινεῖσθαι αὐτὸν ἔφη, s. l. M.

---

(1) αἰὼν M. — (2) ἕξοντες M.

Digitized by Google

Πολλοὶ κινησεῦντι ἔτι τροχὸν ἅρματος ἵπποι.
Ἔσσεται οὗτος ἀνήρ, ὃς ἐμοῦ κεχρήσετ' ἀοιδοῦ,
Ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας, ἢ βαρὺς Αἴας
Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου. 75
Ἤδη νῦν Φοίνικες, ὑπ' ἀελίῳ δύνοντι

V. 72. κινήσουσιν vulgo N. Y. Z, Harles. Reisk. κινησεῦντι sic cum c, e, w, L. P, Brunck. Valck. Gaisf. Kiessl. νικησεῦντι K. M. — ἵππον Vat. 3, 9, Y.

V. 73. ἐμοῦ sic vulgo cum Florent. ap. Gaisf. D. O. Z, Reisk. Harles. ἐμεῦ e, s, w, M. Y, Brunck. Valck. Gaisf. Kiessl. ἔευ Vat. 3. — ἀοιδοῦ sic vulgo cum w, B. D. K. M. Z, Reisk. Harles. Call. Steph. vett. edd. ἀοιδῇ a, g, h, l, p, s, x, Vat. 3, 5, 9, 10, 12, Ald. vett. nonnullæ edd. in marg. ἀοιδῆ Ott. A. O. Y. ἀοιδᾷ Valck. Gaisf. ἀοιδῶ Brunck. Kiessl. Wintert.

V. 74. ῥέξασθ' L. P. — Ἀχιλλεὺς L. — ὅσον p, L.

V. 75. ἴλω Winterton.

V. 76. νιν pro νῦν L. P. — ἀελίῳ sic cum c, e, w, M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἠελίῳ quod A. Y. Z, Reisk. Harles. ἠελίοιο l, Colb. B.

---

73. ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΗΡ, ἀνδρεῖος ἀνήρ, s. l. M. ΚΕΧΡΗΣΕΤ', χρείαν ἕξει, s. l. M.

74. ΣΧΟΛ. ΝΕΩΤ. ΡΕΞΑΣ, κατορθώσας νίκην, s. l. M. ΒΑΡΥΣ, ἰσχυρός, s. l. M.

75. ΣΧΟΛ. ΝΕΩΤ. ΣΙΜΟΕΝΤΟΣ, ἤγουν τῆς Τροίας ἐν ᾗ ὁ Σιμόεις ποταμός, s. l. M. ΗΡΙΟΝ, μνημεῖον, s. l. M.

76. ΣΧΟΛ. ΠΑΛ. Τοὺς τὴν Καρχηδονίαν οἰκοῦντάς φησι ΦΟΙΝΙΚΑΣ. οὗτοι γὰρ συνεχῶς ἐστράτευσαν Συρακουσίοις, ὡς λέγεται καὶ παρὰ Πινδάρῳ. οἱ γὰρ Φοίνικες ἄποικοι Τυρίων. — ΣΧΟΛ. ΝΕΩΤ. ΦΟΙΝΙΚΕΣ, οἱ Καρχηδόνιοι, s. l. M.

Digitized by Google

Οἰκεῦντες Λιβύας ἄκρον σφυρόν, ἐῤῥίγαντι·
Ἤδη βαστάζουσι Συρακόσιοι-μέσα δοῦρα,
Ἀχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν·
Ἐν δ' αὐτοῖς Ἱέρων, προτέροις ἴσος ἡρώεσσι, 80
Ζώννυται, ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
Αἰ γάρ, Ζεῦ κύδιστε πάτερ, καὶ πότνι' Ἀθάνα,

V. 77. οἰκεῦσαι Vat. 12. οἰκεῦνται Vat. ap. Warton. — λιβύης w, Vat. 12, Y. — ἐῤῥίγαντι sic cum c, e, s, w, Vat. 9, Y, Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἐῤῥίγασιν quod A. Z, Steph. Reisk. Harles. ἠρρίγαντι Vat. 3, M. ἐῤῥίγασσιν Ald. Call. vett. edd. ἠρίγαντι K. ἠρρίνασι Vat. 12.

V. 78. βαστάζοντι Wintert. Brunck. — συρηκόσιοι Y. συῤῥακούσιοι p. — μετὰ pro μέσα e, w. — δῶρα p, Vat. 3. δοῦρα w.

V. 79. σακέοισι Vat. 3. — ἰτεΐνοις a, p, Vat.

V. 80. ὡδ' pro ἐν δ' Vat. 10. — ἡρώεσσιν K, Kiessl.

V. 81. ἱππεῖαι A. K. M. P. Z, Reisk. Harles. ἵππειαι Valck. Gaisf. Kiessl. ἵππιαι p. — σκιάζουσιν c, e, L. P. σκιάουσιν w, K. M. σκεπάασιν N. σκεπάοντι Brunck.

---

77. Σχολ. νεωτ. Λιβυης ακρον, εἰς τὸ τέλος τῆς Λιβύης, s. l. M. Σφυρον, πόδα, s. l. M. Ερριγαντι, τοὺς Συρακουσίους δηλονότι ἐνίκησαν, s. l. M.

78. Σχολ. νεωτ. Δουρα, δόρατα, s. l. M.

79. Σχολ. νεωτ. Αχθομεν. βαρούμενοι, s. l. M. Σακεεσσι, σάκη τὰ κοινῶς σκουτάρια, s. l. M. Ιτεινοισιν, ἐξ ἰτέας δένδρου κατεσκευασμένοις, s. l. M.

81. Σχολ. νεωτ. Ζωννυται, ὁπλίζεται, s. l. M. Ιππειαι, ἵππου ἔθειραι, s. l. M. Κορυν, τὴν περικεφαλαίαν, s. l. M. Εθειραι, τρίχες, χαῖται ἵππου, s. l. M.

82. Σχολ. νεωτ. Αι, αἴθε, s. l. M. Κυδιστε, ἔνδοξε, Ποτνι', σεβασμία, s. l. M.

Digitized by Google

Κώρα θ', ἁ σὺν ματρὶ πολυκλάρων Ἐφυραίων
Εἴλαχας μέγα ἄστυ, παρ' ὕδασι Λυσιμελείας,
Ἐχθροὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι 85

V. 83. κώρα sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. κούρη quod A. Y. Z, Reisk. Harles. κούρα c, e, w, P. — ἡ Ott. p, Y. Z, Ald. Call. vett. edd. ἁ w, Steph. unde recent. edd. — μητρὶ Y. Z. — πολυκλάρων sic cum e, M. P, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. πολυκλήρων quod Y. Z, Reisk. Harles. πολλακλάρων et corr. πολὺ κ. w. — Ἐφυρίων et corr. Ἐφυραίων O.

V. 84. εἴληχας Ott. K. Y, Call. Brubach. Steph. εἴλιχας Ald. εἴλαχας Commel. alii ἔληχας. — μεγ' ἄστυ p, Vat. μεγάλας τὺ k. — τὸ παρ' e, p, w, Vat.

V. 85. ἐχθρὼς Wintert. — κακὰ k, Vat. 12, Kiessl. κακᾷ e, Coll. Taur. B. D, Reisk. Call. καλαῖ, quæd. vett. edd. κακαὶ vulgo. — πέμψειεν k, Kiessl. Junt. πέμπει Colb. Taur. B. πέμπουσιν e. πέμψαν Vat. 12. πέμπειεν et corr. πέμψειεν D. πέμψαιεν vett. edd. Reisk. vulgo πέμψειαν. — ἀνάγκα k, B, Call. Vat. 12, Kiessl. ἀνάγκᾳ Colb. Taur. D, Reisk. vulgo ἀνάγκαι.

---

83. Σχολ. παλ. Ματρι. Τὴν Δήμητραν λέγει καὶ τὴν Περσεφόνην [1] εἰληχέναι τὸ τῶν [2] Συρακουσίων ἄστυ· οἷον, τὰς Συρακούσας, παρόσον Κορινθίων ἄποικοι οἱ Συρακούσιοι. — Σχολ. νεωτ. Πολυκλήρων, ἤγουν πολυκτημόνων ἢ Συρακουσίων τῶν πολλοὺς κλήρους ἐχόντων, s. l. M.

84. Σχολ. παλ. Ὡς Θουκυδίδης φησί, Λυσιμελειας [3] λίμνη ἐν Συρακούσαις. — Σχολ. νεωτ. Εἰλαχας, ἐκληρώσω, s. l. M. Παρ' ὕδ. ἐν ὕδασι, s. l. M. Λυσιμελειας, λίμνη ἐν Συρακούσαις ψυχρά, s. l. M.

85. Σχολ. παλ. Εχθρους εκ νασοιο. Τοὺς Καρχηδονίους ἐκ τῆς Σικελίας.

---

(1) Vulgo εἰληφέναι. Correxit Valcken. ad Herodot. p. 535, 99. Intelligitur *Ceres Hermione*, de qua vide Toup. in Animadv. in Schol. ad Idyll. XV, 64. *Kiessl.* — (2) ἐλαιφυρεων (sic) ἁ. ἤγουν τ. Σ. π. Κ. εἰσὶ ἁ. Συρακούσιοι. M. — (3) Antea legebatur

Digitized by Google

Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγελέοντας
Τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθματοὺς ἀπὸ πολλῶν·
Ἄστεά τε προτέροισι πάλιν ναίοιντο πολίταις,
Δυςμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ' ἄκρας.

V. 86. σαρδώνιον p. — μέτα pro κατά e, w, pro var. l. — φίλον p, B. D, in quo corr. φίλων. φίλον, ω sup. o, Taur. — ἀγγέλοντας a, c, e, k, Vat. 12. ἀγγέλλοντας p, s, w, Vat. 3, 5, 9, M. Y, Junt. Call. Steph. in marg. ἀγγείλαντας Colb. Taur. B. D.

V. 87. ἀριθμητα p. ἀριθματὼς Wintert.

V. 88. ἄστεά τε sic vulgo cum A. B. D. F. K. M. N. O. Y. Z, Reisk. Harles. ἄστεα δὲ e, w, L, Wintert. Valck. Gaisf. Kiessl. — ναίοιντο sic vulgo cum Reisk. Harles. ναίοιτο Valck. Brunck. Gaisf. Kiessl. cum Junt. ναίοιτε w, P. νέοιντο p, A. B. F. K. M. N. O. Y. Z. νέοιτο et suprascr. νέοιντο D.

V. 89. δ' ὅσσον w. ὅσον L. P. — χεὶρ δὲ Vat. 10. ὅσσα χεῖρ' Vat. ap. Warton. χεῖρας Y. — ἐλωβάσαντο Brunck. — κατάκρας a, Vat. ap. Warton. Brunck. Kiessl. κατάκρως L. P, p ap. Salvin.

---

86. ΣΧΟΛ. ΠΑΛ. ΣΑΡΔΟΝΙΟΝ ΚΑΤΑ ΚΥΜΑ. [1] Διὰ τούτου γάρ ἐστιν ὁ εἰς Καρχηδόνα πλοῦς ὁ κατὰ τὴν νῆσον Σαρδώ, ὃ καλεῖται Σαρδῶον.

87. ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΟΧΟΙΣΙ, γυναιξί, s. l. M. ΑΡΙΘΜΑΤΟΥΣ, ὀλίγους εὐαριθμήτους ἀπὸ ἀναριθμήτων, s. l. M.

88. ΣΧΟΛ. ΝΕΩΤ. ΑΣΤΕΑ, αἱ πόλεις, s. l. M. ΝΑΙΟΙΝΤΟ, οἰκοῖντο, s. l. M.

89. ΣΧΟΛ. ΝΕΩΤ. ΔΥΣΜΕΝΕΩΝ, ἐχθρῶν, s. l. M. ΕΛΩΒΗΣΑΝΤΟ, ἔφθειραν, s. l. M. ΚΑΤ' ΑΚΡΑΣ, τελείως, s. l. M.

λεμήν, quod correxerunt Reinesius et Toupius. Thucyd. VII, 53. *Kiessl.*

(1) ἤγουν κατὰ τ. ν. τὴν Σ. διὰ τούτου γ. ἐ. ὁ ε. Καρχηδονίαν πλοῦς. M.

Digitized by Google

Ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἴ τ' ἀνάριθμοι 90
Μήλων χιλιάδες βοτάναις διαπανθεῖσαι
Ἀμπεδίον βληχοῖντο, βόες δ' ἀγελαδὸν ἐς αὔλιν
Ἐρχόμεναι σκνιπαῖον ἐπισπεύδοιεν ὁδίταν·

V. 90. ἐργάζοιντο A. — τεθαλότες L. — αἱ δ' k, Taur. αἱ δ' B. D. P. ἠδ' h, l, x, Ott. A. F. N. O. Z, Med. Ald. Junt. et vett. al. edd. αἴ τ' Call. Steph. unde recent. edd.

V. 91. μήλων sic vulgo cum Reisk. Valck. Harles. Gaisf. μάλων l, B. D. K. L. P. Brunck. Kiessl. — βοτάνα a, c, k, p, s, w, Vat. 3, 5, 9, 12, D. K. L. M. P. Y. βοτάνᾳ M, Brunck. βοτάναι B, e, Taur. — διαπιανθεῖσαν c. διαπανθεῖσαι p.

V. 92. ἂν πέδιον g, h, Ott. Med. Ald. Call. Junt. vett. al. edd. Kiessl. ἀμπεδίων Steph. Reisk. Valck. Harles. ἀμπεδίων Z. ἀν πεδίον F. N. O. — βλάχοιντο c, e, w, L. M. P. βληχοῖντο Y, Kiessl. βλήχωντο Vat. 9. — βοῶν P. — ἀγελαδὸν sic cum c, s, w, Vat. 3, 12, M. P, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀγελησὸν quod Z, Reisk. Harles. — αὖλον k.

V. 93. σκιπναῖον sic vulgo cum Call. vett. edd. Steph. Reisk. Harles. σκνιπαῖον a, c, e, g, h, l, p, s, x, Vat. 3, 5, 9, 12, L. Y, Med. Ald. Valck. Gaisf. Kiessl. σκνιφαῖον k, w, in quo π suprascr. τῷ φ, Colb. Taur. B. D. K. M. σκνιπαίως L. P. σκιπαῖον et corr. σκνιπαῖον, F. σκνιπναῖον Junt. — ἐπισπεύδειεν c, K. M, Ald. vett. nonnullæ edd. ἐπισπεύδοιεν Call. Steph. unde recent. edd. σπεύδοιεν w. — ὁδοῖταν K.

---

90. ΣΧΟΛ. ΝΕΩΤ. ΤΕΘΑΛΟΤΑΣ, τεθηλότας, θαλλοντας, s. l. M.

91. ΣΧΟΛ. ΝΕΩΤ. ΔΙΑΠΙΑΝΘΕΙΣΑΙ, λιπανθεῖσαι, s. l. M.

92. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΠΕΔΙΟΝ, ἀνὰ τὸ πεδίον διερχόμεναι βληχήσοιντο, s. l. M. ΑΥΛΙΝ, μάνδραν, s. l. M.

93. ΣΧΟΛ. ΠΑΛ. [1] ΣΚΙΠΝΑΙΟΝ δὲ ἑσπερινόν, ἢ παρὰ

---

(1) Heinsius Lectt. Theocr. p. 384. hæc ita supplet: σκιπναῖον δὲ ἑσπερινὸν, ἢ παρὰ τὴν σκνίπαν, ἢ παρὰ τὸ κνέφας πεποίηται· ἢ παρὰ τὴν κνίπα· κνίψ γὰρ κ. τ. λ. *Warton.*

Digitized by Google

Νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἀνίκα τέττιξ,

V. 94. ἐκτελέοιντο c, K. M. ἐκπλέοιντο P. ἐκπνέοιντο w. — παρὰ pro ποτὶ c. κατὰ pro eodem K. L. M. P. — σπορὰν Vat. — ἡνίκα p, Ott. Ald. Call. vett. edd. ἀνίκα w, Steph. unde recent. edd.

τὴν [1] σκίπαν, ἢ παρὰ τὸ κνέφας πεποίηται. κνίψ γὰρ ζῶόν ἐςι βραδυκίνητον. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΙΠΝΑΙΟΝ. [2] Σκνίψ, σκνιπός, ζωΰφιον εὐτελὲς κωνοποιεδές, ὃ καὶ κνίψ λέγεται· καὶ τὸ μὲν σκνίψ, ὥς φησιν ὁ Χοιροβοσκός, κλίνεται διὰ τοῦ φ καὶ διὰ τοῦ π. τὸ δὲ κνίψ διὰ μόνου τοῦ π. ἀπὸ τούτου σκνιφὸς καὶ κνιπός, μεταγομένης τῆς γενικῆς εἰς εὐθεῖαν, λέγεται ὁ μικρολόγος καὶ ὁ μικρόψυχος. Ν. ΤΡΙΚΑΙΝΙΟΥ. ΣΚΝΙΠΑΙΟΝ. Σκνίψ ἐστὶ ζῶον βραδυκίνητον καὶ ἀπὸ τούτου σκνιφαῖον λέγει τὸν ἀργὸν βουκόλον, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, σκνιπαῖον. λέγοιτο δ' ἂν οὕτως, ἀπὸ τοῦ εἰς κενὸν ἕπεσθαι ταῖς βουσίν. εἴη δ' ἂν τοῦτο καὶ ἐπὶ τῶν ἀργῶν ὁδοιπόρων, καὶ οὗτοι γὰρ τὰς βοῦς ὁρῶντες εἰς τὸν σταθμὸν ἐρχομένας, ἑσπέρας καταλαβούσης, καὶ αὐτοὶ σπεύδουσιν εἴς τι καταγώγιον ἀφικέσθαι. σπεύδω ἐγώ, ἐπισπεύδω δὲ ἕτερον, ἀντὶ τοῦ σπουδάζειν ποιῶ. Μ. ΣΚΝΙΠΑΙΟΝ, τὸν ἀργόν, s. l. M. ΕΠΙΣΠΕΥΔ. σπουδαίως πορεύεσθαι ποιήσουσι, s. l. M. ΟΔΙΤΑΝ, τὸν ὁδηγὸν αὐτῶν ἤτοι τὸν βουκόλον, s. l. M.

94. ΣΧΟΛ. ΠΑΛ. ΝΕΙΟΙ. τουτέστιν αἱ κεχερσωμέναι [3] χῶραι νεάζοιντο πρὸς τὸν σπόρον· τουτέστιν, ἀροτριοῖντο, ἡνίκα ὁ τέττιξ ἐπὶ τῶν ὑψηλῶν κλάδων ἠχεῖ κατὰ τὴν μεσημβρίαν, τοὺς ποιμένας φυλασσόμενος. ἐλάσαντες γὰρ οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ, θηρῶσι τοὺς τέττιγας. τὸ δὲ ΔΙΑΣΤΗΣΑΙΝΤΟ ἀντὶ τοῦ διυφήνειαν. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΙ ΣΠΟΡΟΝ, εἰς σπόρον ἤγουν εἰς τὸ σπαρῆναι, s. l. M.

---

(1) Leg. σκίπνα pro σκνίπα. nisi sic legeris, quo pertineat κνίψ intelligi non potest. Σκνῖπα legit Hœschel. ad Phrynich. p. 70, 74. *Hemsterh.* — (2) Hæc Gaisford. ex Ruhnkenii exc. — (3) ἄρουραι M.

Digitized by Google

Ποιμένας ἐνδίους πεφυλαγμένος, ἔνδοθι δένδρων 95
Ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
Λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη.
Ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοὶ
Καὶ πόντου Σκυθικοῖο πέραν, καὶ ὅπῃ πλατὺ τεῖχος

V. 95. ἐνδείους k, p, s, x, Colb. Taur. B. D. Y. Z, Vat. 9, Junt. Call. ἐνδίους Steph. unde recent. edd. ἔνδειος g, h, i, Ott. Med. A. F. O, Ald. vett. edd. ἐνδεία a, c, e, Vat. 5, L. M. P. utramq. lectionem confundit w, exhibens ἐνδεὶουσά, in quo tamen suprascr. α τῷ ου. ἐνδείας Vat. 10. ἔνδιος N. ἐνδεῖλα K. — παραφυλαγμένος p. — ὑψόθι pro ἔνδοθι c, e, w, K. L. M. P, Brunck.

V. 96. ἀγχεῖ Vat. 12. ἠχεῖ Y. — ἐς ὅπλ' B.

V. 97. διεστήσαντο Vat. διαστησαντο K.

V. 98. ἀοιδαὶ Vat. 3, 12.

V. 99. πόντον e. — πέρας Junt. — ὅπῃ vulgo Reisk. Valck. Harles. Kiessl. ὅπη Brunck. ὅπᾳ Winterton. ὅποι Y. ὅθι c, e, k, w, Colb. Taur. B. D. K. L. M. P, Gaisf. — πλατύτειχος F. πλατεῖα τείχη L.

---

95. Σχολ. νεωτ. Ενδιους, δειλινούς, s. l. M. Πεφυλαγμ. φυλασσόμενος μὴ ἀγρευθῇ ὑπὸ τούτων. s. l. M.

96. Σχολ. νεωτ. Ακρεμονεσσιν, τοῖς ἄκροις τῶν δένδρων, s. l. M. Αραχνια, ἤγουν νήματα αὐτῶν, s. l. M. Εις ὅπλ'. τοῦτό φησιν, ὅτι μὴ γένοιτο τῷ Ἱέρωνι πολέμους ἔχειν συχνούς, ἀλλὰ κειμένων τῶν ὅπλων καὶ μὴ χρωμένων, ἱστὸν ἐν αὐτοῖς οἱ ἀράχναι στήσαιντο. M.

97. Σχολ. νεωτ. Διαστης. ὑφάνειαν, s. l. M. Βοας, βοῆς ἤγουν πολέμου, ἐν ᾧ βοαὶ γίνονται, s. l. M.

98. Σχολ. νεωτ. Υψηλον, μέγα, s. l. M.

99. Σχολ. παλ. Σκυθικοιο. Τοῦ λεγομένου Εὐξείνου. — Σχολ. νεωτ. Ποντου, ἐπέκεινα τοῦ πόντου τῶν Σκυθῶν, ἤτοι τῆς Μαιότιδος λίμνης, s. l. M. Και ὅθι, καὶ ὅπου, s. l. M. Πλατυ τειχος, ἤγουν τὴν Βαβυλῶνα, s. l. M.

Digitized by Google

Ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν. 100
Εἷς μὲν ἐγών, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
Θυγατέρες, τοῖς πᾶσι μέλοι σικελὰν Ἀρέθοισαν

V. 100. δείσασα w. — ἐβασίλευεν a, p, Vat. 3, N. ἐμβασίλευσεν c, e, M. P. ἐβασίλευσεν K. L.

V. 101. εἰς Ott. — ἐγών sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἐγὼ quod Y. Z, Reisk. Harles. — ἄλλαι Colb. B. D, Taur. in quo suprascr. ος τῷ αι. ἄλλως Vat. 12.

V. 102. μέλει c, M, Kiessl. μέλοι Steph. unde recent. edd. ἴκοι a, e, g, h, Ott. x, Vat. 3, 5, 10, A. F. N. O. Z, Call. vett. edd. Steph. in marg. Reisk. εἴκοι Vat. 12. ἴκε w. ἥκοι Ald. — σικελὴν sic vulgo cum w, Y, Reisk. Harles. σικελὰν A. F. N. O. Z, Wintert. Brunck. Valck. Gaisf. Kiessl. σικελικὴ p. σικελικὴν Vat. 9. — ἀρέθουσαν p, w.

---

100. ΣΧΟΛ. ΠΑΛ. ΑΣΦΑΛΤΩι. Ἡρόδοτος ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος [τῆς Βαβυλῶνος M.] ἀντὶ πηλοῦ. [Τάδε γὰρ ἐν ταῖς λέξαισι (sic) φησί. « Ποταμός » ἐστι περὶ τὴν Βαβυλῶνα καλούμενος Ἴς. οὗτος ἅμα τῷ » ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς. ἔνθεν ἡ ἄ- » σφαλτος ἐς τὸ Βαβυλῶνος τεῖχος ἐκομίσθη. καὶ πάλιν ἑλκύ- » σαντος δὲ πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι » τέλματι χρεόμενος ἀσφάλτῳ θερμῇ. ἡ πόλις δὲ τοιαύτη δή » τις κέεται ἐν πεδίῳ μεγάλῳ, μέγεθος ἐοῦσα μέτωπον ἑκα- » στον κ' καὶ ρ' σταδίων τετραγώνων. οὗτοι οἱ στάδιοι τῆς » περιόδου τῆς πόλεως γίνονται συνάπαντες π' καὶ ύ. τὸ τεῖχος » δὲ ν' μὲν πήχεων βασιληΐων ἐὸν τὸ εὖρος· ὕψος δὲ δηκο- » σίων. ὁ δὲ βασιληΐος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεως μέζων » τρισὶ δακτύλοισι. » [1] M.]

101. ΣΧΟΛ. ΠΑΛ. ΕΓΩ. Ὁ ἐγκωμιάζων δηλονότι. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣ ΜΕΝ, εἷς εἰμὶ καὶ ἐγὼ τῶν παρὰ Μουσῶν πεφιλημένων, s. l. M.

102. ΣΧΟΛ. ΝΕΩΤ. ΘΥΓΑΤΕΡΕΣ, αἱ Μοῦσαι, s. l. M.

---

(1) Cf. Epist. ad cl. Gaisford. etc.

Digitized by Google

Ὑμνεῖν σὺν λαοῖσι, καὶ αἰχμητὰν Ἥρωνα.
Ὦ Ἐτεόκλειοι θύγατρες θεαί, αἱ Μινύειον
Ὀρχομενὸν φιλέοισαι, ἀπεχθόμενόν ποκα Θήβαις, 105

V. 103. αἰχματὰν c, e, w, L. M. P, Brunck. male. αἰχμειτὰν Junt.

V. 104. ἐτεόκλειοι χάριτες vulgo vett. edd. Reisk. Harles. ἐτεόκλῆος χάρ. w, K. M. ἐτεόκλειοι θύγατρες sic cum Ald. Valck. Gaisf. Kiessl. ἐτεόκλειο θυγατέρες p. ἐτεόκληο θυγατέρες L. ἐτεοκλῆος c, e. ἐτεοκλῆς P. ἐτεόκλειοι θυγατέρες man. 1ª, et in marg. ἐτεόκλεος χάρ. et corr. ἐτεόκλειος χάρ. N. θυγατέρες a, k, l, s, x, Colb. Taur. Ott. Vat. 3, 5, 9, 10, 12, B. F. O. P. Y et D, in quo corr. θύγατρες et in marg. γρ. χάριτες. θυγατρὲς g. θυγατέραις A. — τὸν pro αἱ a, c, g, h, l, p, x, Ott. Vat. 10, A. F. K. L. M. O. P. Z, Ald. Med. ὦ M. k, s, Taur. B. D, Junt. Steph. in marg. ὦ τὸν M. e. — Μηνύειον Y.

V. 105. ποκα sic cum c, e, w, M. P, Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ποτε quod A. D. F. Y. Z, Reisk. Harles. — θήβας Junt.

---

103. Σχολ. νεωτ. Αἰχμητὰν, αἰχμητήν, πολεμιστήν, s. l. M.

104. Σχολ. παλ. Ετεοκλειοι θυγατέρες. Ἐτεοκλέους θυγατέρας ἔφη τὰς Χάριτας, διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἀποθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ.

105. Σχολ. παλ. Θηβαις. Ἀπεχθόμενον δὲ αὐτὸν ἔφη ταῖς Θήβαις, διὰ τὰ τεθρυλλημένα ἐπὶ [1] Ἐργίνῳ τῷ Ὀρχομενίῳ. οὗτος γὰρ, ἀναιρεθέντος τοῦ πατρὸς αὐτοῦ Κλυμένου ὑπὸ Θηβαίων, εἷλε τὰς Θήβας, καὶ φόρους ἔταξεν, ἕως οὗ Ἡρακλῆς τοῦ δασμοῦ τοὺς Θηβαίους ἀπέλυσε, μάχῃ νικήσας τοὺς Ὀρχομενίους. — Σχολ. νεωτ. Απεχθομεν. μισοῦνται, s. l. M. Ποκα, ποτέ, s. l. M.

---

(1) Vulgo Ὀργίλῳ. Corrigit Wassius ad Thucyd. p. 283, 84. Adde Toup. ad h. l. *Kiessl.*

Digitized by Google

Ἄκλητος μὲν ἔγωγε μένοιμί κεν· ἐς δὲ καλεύντων
Θαρσήσας Μοίσαισι σὺν ἀμετέραισιν ἰκοίμαν,
Καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπατὸν
Ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἄμ' εἴην.

V. 106. ἐγὼ μίμνοιμί κεν vulgo, Y, vett. edd. Reisk. Harles. ἔγωγε μένοιμί κεν h, l, x, Ott. Ald. Junt. Valck. Gaisf. Kiessl. μένοιμί κεν a, g, Vat. 10. ἐγὼν μένοιμι w, L. P. ἔγωγε μίμνοιμί κεν K. M. μένοιμι e, p, Vat. 5, ἔγωγε γένοιμι k, Colb. B. D. ἔγωγε μένοιμί κεν Brunck.

V. 107. μοίσαισιν L. P. — ἐν pro σὺν L. P. — ἀμετέραισιν sic cum k, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀμετέρησιν quod Y, Z, Reisk. Harles. ἀμετέραισιν w, Vat. 5, A. L. P. — ἰοίμαν a, c, e, k, p, s, w, Colb. Vat. 3, B. D. K. M. Y, Junt. Brunck. ἰοίμην L. R. ἧμαν Vat. 10.

V. 108. καλύψω c, e, l, p, s, w, K. M. καλύψω Vat. — ὔμεας c, e, w, K. L. P. ὑμμέας M. — ἀγαπητὸν Y, p.

V. 109. ἀνθρώπων Vat. 9, Y. — ἀπένευθεν M. — ἀεὶ w. ἀὲν K. αἰεὶ L. M.

---

106. ΣΧΟΛ. ΠΑΛ. ΑΚΛΗΤΟΣ ΜΙΜΝΟΙΜΙ. Οὐκ ἂν ἀπέλθοιμι. καλούμενος δὲ μεθ' ὑμῶν, ὦ Χάριτες, καὶ τῶν Μουσῶν, πορεύσομαι θαρρῶν. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΣ ΔΕ ΚΑΛΕΥΝΤΩΝ, εἰς τοὺς οἴκους τῶν καλούντων, s. l. M.

107. ΣΧΟΛ. ΝΕΩΤ. ΙΚΟΙΜΑΝ, ἰοίμην, ἐλεύσομαι, s. l. M.

108. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΛΥΨΩ, κρύψω, s. l. M.

109. ΣΧΟΛ. ΝΕΩΤ. ΑΠΑΝΕΥΘΕΝ, χωρίς, s. l. M.

Digitized by Google

ΥΠΟΘΕΣΙΣ

ΤΟΥ ΈΒΔΟΜΟΥ ΚΑΙ ΔΕΚΑΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

Τοῦτο τὸ εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται. Ἀρατείᾳ δὲ κέχρηται εἰςβολῇ. Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν παῖς. διὸ καὶ ἁμαρτάνει [1] ὁ Μούνατος, τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων εἰς τὸν Φιλοπάτορα, τοσούτου χρόνου μαχόμενος διαστήματι.

[Δωρίδι Μ.]

(1) Conf. Casaubon. in fine lect. Theocrit. *Kiessl.*

Digitized by Google

ARGUMENTUM

IDYLLII XVII.

INITIO hujus carminis poëta consilium, Ptolemæum Philadelphum, Ægypti regem, celebrandi aperit — 12. Quod ut exsequatur, a Ptolemæi Lagi, post fata inter deos recepti, laude progreditur — 33, ad Berenices, Philadelphi matris, præconia, quam Venus in sua templa, ut πάρεδρος ipsi esset, recepisse putabatur — 57, unde ad ipsius Philadelphi felicitatem virtutemque prædicandam procedit, quam a faustis ominibus repetit, quæ, ad regii pueri ortum in insula Co edita, futuram ejus opulentiam et potentiam portenderunt. Tum instituto recensu terrarum regni — 92, divitias regias, per pacem exoptatissimam congestas, ambitiose laudat — 105. Ptolemæi munificentiam et prudentiam in beneficiis tribuendis extollit — 120, pietatis denique in parentes monimenta magnifice prædicat — 127. Adjicitur in fine regiæ conjugis, quæ eadem Ptolemæi soror erat, laudatio. — Hoc encomium in Ptolemæum plures viri docti (Reiskius ad v. 68, Wartonus in notis, Ahlwardtus p. 180 sq. Manso in *den Nachtrægen z. Sulzer*, Vol. I, P. I, p. 113, 114); Theocriti ingenium sapere negantes, ad Callimachum auctorem retulerunt. Judice Eichstadtio (in Adumbr. quæst. de carminum Theocrit. indole, etc. p. 45), callimacheorum hymnorum tenuitatem æquat, jejunitatem superat.

Digitized by Google

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΠΤΟΛΕΜΑΙΟΝ.

ΕΙΔΥΛΛΙΟΝ ΙΖ'.

Ἐκ Διὸς ἀρχώμεσθα, καὶ εἰς Δία λήγετε, Μοῖσαι,
Ἀθανάτων τὸν ἄριστον ἐπὴν ἄδωμεν ἀοιδαῖς·

Ἐ. εἰς Πτ. φιλάδελφον τοῦ Λάγου. D.

V. 1. ἐκ Διὸς Vat. 5, 10. ἐπ' Διὸς a. — ἀρχόμεθα p. — εἰς Δ. sic vulgo cum Z, Reisk. Harles. ἐς Δ. c, k, p, L. M, Valck. Gaisf. Kiessl.

V. 2. ἄριστον K. — ἀείδωμεν a, g, h, k, l, p, x, Ott. Vat. 5, 10, A. D. F. K. L. M. N. O. P. Z, Ald. Call. vett. edd. Med. Junt. ἄδωμεν primus Steph. ἄδωμις Wintert. — ἀοιδαῖς et suprascr. ἀοιδοῖς P.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ. ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Καὶ τόδε ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρλζ', ὧν τελευταῖος· φθέγξομαι ἐσσομένοις. ἀρετήν γε ἐκ Διὸς αἴτεῦ. Μ. Ἀράτειος ἡ εἰςβολή. τοῦτο δὲ εἰς Πτολεμαῖον τὸν Φιλάδελφον ἐπιγέγραπται, ὃς Πτολεμαίου τοῦ Λαγωοῦ καὶ Βερενίκης παῖς ἦν. Μ.

1. ΣΧΟΛ. ΠΑΛ. ΕΚ. Ὁ νοῦς· πᾶν, φησί, ποίημα ὅταν γράφωμεν, ὑμνοῦμεν τὸν Δία ἐν πρώτοις, καὶ πυμάτοις, καὶ μέσοις. καὶ Πτολεμαίου οὖν μνησθῶμεν ἐν ἀρχῇ, καὶ μέσῳ, καὶ ἐν τέλει τοῦ ποιήματος.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΗΝ, ἡνίκα, s. l. M. ΑΟΙΔΑΙΣ, ποιήμασι, s. l. M.

Digitized by Google

Ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
Καὶ πύματος, καὶ μέσσος· ὁ γὰρ προφερέστερος ἀνδρῶν·
Ἥρωες, τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο, 5
Ῥέξαντες καλὰ ἔργα σοφῶν ἐκύρησαν ἀοιδῶν·
Αὐτὰρ ἐγὼ Πτολεμαῖον, ἐπιστάμενος καλὰ εἰπῆν,
Ὑμνήσαμ'· ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.

V. 3. ἀνδρῶν δὲ Brunck.

V. 4. μέσος p. — ὁ Kiessl. — προφερέστερος c, e, w, Vat. 12, K. L. M. P, Brunck. Kiessl. προφιλέστατος Steph. in marg. — ἄλλων, suprascripto ἀνδρῶν, p.

V. 5. ἥρῶες τι w. — τε πρῶτον e, Vat. 12. — ἡμιθέων sic vulgo cum Y. Z, Reisk. Harles. ἁμιθέων Wintert. Valck. Gaisf. Kiessl. ἡμετέρων c.

V. 6. ἔργα καὶ p. — ἀοιδῶν et suprascr. ἀοιδᾶν, D.

V. 7. ἐγὼν Brunck. Kiessl. — εἰπεῖν vulgo A. F. Y. Z, Reisk. Harles. εἰπῆν sic cum Vat. 5, Br. Valck. Gaisf. Kiessl.

V. 8. ὕμνοι P et D, in quo ὕμμες in marg. ὕμνοι Junt. Call. Steph. pro quo ὕμμε a, Vat. 5, ubi adscribit Glossator γρ. ὕμνοι. ὕμμες g, h, l, x, A. F. N. O, Ott. ὕμμες Ald. Med. — καὶ om. P. — αὐτῷ g, h, l, x, Med. αὐτῶ A. F. N. O. αὐτῶν, et in marg. αὐτῶ, D.

---

3. Σχολ. νεωτ. Πρωτοις. ἐν πρώτοις, s. l. M. Λεγεσθω, ταττέσθω, s. l. M.

4. Σχολ. νεωτ. Πυματος, ὕστερος, s. l. M. Ὁ γαρ, οὗτος, s. l. M. Προφερεστατ. κρείττων, s. l. M.

6. Σχολ. νεωτ. Ῥεξαντες, πράξαντες, s. l. M. Εκυρησαν, σοφῶν ἐπέτυχον ποιητῶν, s. l. M.

8. Σχολ. νεωτ. Γερας, τιμή, s. l. M.

Digitized by Google

Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐνθών,
Παπταίνει, παρεόντος ἄδην, πόθεν ἄρξεται ἔργου. 10
Τί πρᾶτον καταλεξῶ; ἐπεὶ πάρα μυρία εἰπῆν,
Οἷσι θεοὶ τὸν ἄριστον ἐτίμασαν βασιλήων.

V. 9. Ἴδας l. — ὑλητόμος vulgo Y. Z, Reisk. Harles. ὑλατόμος sic cum c, e, k, w, L. M, Junt. Brunck. Valck. Gaisf. Kiessl. ὑλοτόμος a, Vat. 5, 10, 12. — ἐλθών vulgo Y. Z, Reisk. Harles. ἐνθῶν sic cum k, Vat. 12, Brunck. Wintert. Valck. Gaisf. Kiessl.

V. 10. ἄδδην a, p, Vat. ἄδειν Y. — ἔργου sic vulgo cum K. M. Y. Z, Reisk. Harles. ἔργω Wintert. Brunck. Valck. Gaisf. Kiessl. ἔργον L. P. voc. om. p.

V. 11. πρᾶτον Steph. unde recent. edd. πρῶτον p, Ott. Vat. Y. Z, Ald. Call. vett. edd. — καταλέξω M. — εἰπεῖν e, h, p, s, w, Vat. 12, Y.

V. 12. ἐτίμασαν sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἐτίμησαν quod Y. Z, Reisk. Harles. — βασιλῆα A.

---

9. ΣΧΟΛ. ΠΑΛ. [1] Ὡς περὶ τὴν Ἴδην τὴν πολύδενδρον ὑλοτόμος ἐλθών, ἔργου πολλοῦ προκειμένου, σκοπεῖ πόθεν ἄρξεται· οὕτω δὲ κἀγὼ ἀπορῶ, [2] πόθεν πρὸς ὕμνον εἰςβάλλω. Ἴδας δέ φασι πάντα τὰ ὑψηλὰ ὄρη, [3] ἀπὸ τοῦ ἀπ' αὐτῶν δύνασθαι ἰδεῖν πάντα.

10. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΠΤΑΙΝΕΙ, ζητεῖ, s. l. M. ΑΔΗΝ, δαψιλοῦς λόγου (sic), s. l. M.

11. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΤΑΛΕΞΩ, εἴπω, s. l. M. ΠΑΡΑ, πάρεστι, s. l. M. ΜΥΡΙΑ, πολλά, s. l. M.

---

(1) ὥςπερ φησὶ εἰς πολύδενδρον ὕλην M. — (2) πόθεν εἰςβάλλω τοῖς ἐπαίνοις M. — (3) ἀπὸ τοῦ δύνασθαι κατιδεῖν ἀπ' αὐτῶν τὰ πόρρω κείμενα, M.

Digitized by Google

Ἐκ πατέρων, οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Λαγίδας Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
Βουλάν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι! 15
Τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
Ἀθανάτοις, καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ

V. 13. οἷος μὲν ἔην p, w, recent. edd. μὲν οἷος ἔ. a, h, l, x, Ott. A. F. O. Z, Ald. Call. vett. edd. nonnullæ quæ μὰν pro μὲν, quam lectionem revocavit Reisk. — τελέσας K.

V. 14. ω Λαγ. w. — ὁ ante Λαγίδας om. a, c, k, p, s, w, D. K. L. M. P. Y, Junt. Gaisf. Kiessl. — ἐγκατάθοιτο, et corr. ἐγκατάθειτο, F. ἐγκάθοιτο P.

V. 15. τε post οἷος om. P.

V. 17. ἀθανάτοισι Brunck. — χρυσεῖος c. χρύσεοι δῆμοι Vat. 10. — ἐν Διὸς l.

---

13. Σχολ. νεωτ. Οἷος, μέγας, s. l. M. Ἔην, ἦν, s. l. M.

14. Σχολ. παλ. Τοῦ Πτολεμαίου τοῦ Λαγοῦ φησίν, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. Ὅκα. Ἀντὶ τοῦ ὅταν βουλεύσηται. — Σχολ. νεωτ. Ὁ ΛΑΓΙΔΑΣ, ὁ τοῦ Λαγωοῦ υἱός, s. l. M. Ὅκα, ὅτε, s. l. M.

15. Σχολ. νεωτ. Οἷος, δυνατός, s. l. M.

16. Σχολ. παλ. [1] Τὸν Σωτῆρά φησι Πτολεμαῖον [2] τὸν Λαγοῦ, καθὸ [3] ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ. — Σχολ. νεωτ. Πατὴρ ὁμότιμον, ὁ Ζεὺς ἴσης τιμῆς ἠξίωσεν, s. l. M.

17. Σχολ. νεωτ. Οἱ, αὐτῷ, s. l. M.

---

(1) τὸν σωτῆρά φησι Πτ. τὸν πατέρα τοῦ Λαγωοῦ, ὃν φασιν ἀπαθανατισθῆναι παρὰ θεῶν. ἀποτείνεται δὲ καὶ εἰς τὸν μέγαν Ἀλέξανδρον, ὃν φασι καὶ αὐτὸν ἀπαθανατισθῆναι. M. — (2) Vulgo τοῦ Λαγοῦ. Corrigit Valcken. ad Adoniaz. p. 355. A. *Kiessl.* — (3) ἐξεώθη Call.

Digitized by Google

Δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδὼς
Ἑδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομίτραις.
Ἀντία δ' Ἡρακλῆος ἕδρα κενταυροφόνοιο 20
Ἵδρυται, στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος,
Ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδαισι,
Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν·

V. 18. παρ' δ' αὐτῷ c, e, K. M. — ἀλέξανδρον k.

V. 19. Πέρσαισι sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. πέρσησι quod Reisk. Harles. — αἰολομίτρας a, c, e, g, h, k, p, w, x, Vat. 5, 9, D. K. L. M. N. O. P. Z, Ald. Junt. αἰολομίτας Y. αἰλομίτρας Ott. αἰολόμήτρας l. αἰολομίτραις Tolet. αἰολομήτας Call. vett. edd. Steph.

V. 20. ἀντία θ' c, e, w, K. M. ἀντὶ θ' L. P. — κεν pro αφιν e, K. M, Junt. κε k, w, Vat. 12, L. P. τε p, Vat. 5, 10. τοῦ s, Vat. 9, Y. τὰ a. — κενταυροφόνοιο M, Kiessl.

V. 21. στερεοῖ p. — τετυγμένος w, L. P. τετυγμένη Vat. 12. τεταγμένα a, Vat. 5.

V. 22. ἄλλοισι p, Brunck. — θαλειας p. — οὐρανίδαισι sic cum p, s, Vat. 9, Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. οὐρανίδῃσι quod A. D. P. Z, Reisk. Harles.

---

18. ΣΧΟΛ. ΝΕΩΤ. ΔΕΔΜΗΤΑΙ, κατεσκεύασται, s. l. M.

19. ΣΧΟΛ. ΝΕΩΤ. ΕΔΡΙΑΕΙ, σύνεδρός ἐστι, s. l. M. ΠΕΡΣΗΙΣΙ, ἐπεὶ αὐτοὺς κατετροπώσατο, s. l. M. ΑΙΟΛΟΜΙΤΡΑΙΣ, ποικίλοις τὰ στρατιωτικά, s. l. M.

20. ΣΧΟΛ. ΝΕΩΤ. ΕΔΡΑ, ὁ θρόνος, s. l. M. ΚΕΝΤΑΥΡΟΦΟΝ. τοῦ κτείναντος τοὺς κενταύρους, s. l. M.

21. ΣΧΟΛ. ΝΕΩΤ. ΙΔΡΥΤΑΙ, ἐστήρικται, s. l. M. ΤΕΤΥΓΜΕΝΑ, κατεσκευασμένη, s. l. M.

22. ΣΧΟΛ. ΝΕΩΤ. ΘΑΛΙΑΣ, ἑορτάς, s. l. M. ΟΥΡΑΝΙΔΑΙΣΙ, θεοῖς, s. l. M.

23. ΣΧΟΛ. ΠΑΛ. Χαίρων ὁ Ἡρακλῆς ἐπὶ τοῖς τῶν ἐγγόνων υἱοῖς καὶ ἀπογόνοις ἀπαθανατισθεῖσιν. ἀποτείνει δὲ τὸν

Digitized by Google

Ὅττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας·
Ἀθάνατοι δὲ καλεῦνται, θεοὶ νέποδες γεγαῶτες· 25
Ἀμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας,
Ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
Τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη

V. 24. ὅτι F. — μελέων Κρονίδης L. P. Κρονίδης μ. w. — ἐξήρατο Vat. 12. ἐξείχητο Vat. 10.

V. 25. καλεῦντι, ται supr. τι, s. καλυντᾶς sic w ap. Salvin. κελεῦνται L. P. — ἑοὶ pro θεοὶ Brunck. Kiessl.

V. 26. ἄμφω a, c, k, p, s, w, Vat. 5, 9, 10, 12, K. L. P. Y. ἀμφοῖν et in marg. γρ. ἄμφω, D. ἄμφω, οιν suprascr. τῷ ω, M. — σφι p. — ἡρακλείδης w.

V. 28. τῶ ἐπὶ p. τοῦ καὶ ὑπαὶ K. — δαίτιθεν K. voc. om. L. P. — ἴοι vulgo w, Ald. Steph. Reisk. Harles. Gaisf. Valck. ἴῃ Call. vett. nonnullæ edd. Steph. in marg. Kiessl.

λόγον εἴς τε τὸν μέγαν Ἀλέξανδρον καὶ εἰς τὸν Πτολεμαῖον. ἀμφότεροι γὰρ ἦσαν ἀφ' Ἡρακλέους. τὸ δὲ ΑΜΦΟΙΝ ἀντὶ τοῦ τοῖς δυσί, τῷ Πτολεμαίῳ καὶ τῷ Ἀλεξάνδρῳ. — ΣΧΟΛ. ΝΕΩΤ. ΥΙΩΝΩΝ, τῶν υἱῶν, s. l. M. ΠΕΡΙΩΣΙΟΝ, μέγα, s. l. M. ΥΙΩΝΟΙΣΙ, τοῖς ἐκγόνοις, s. l. M.

24. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΕΩΝ, αὐτῶν, s. l. M. ΕΞΕΙΛΕΤΟ, ἐξέβαλε, s. l. M.

25. ΣΧΟΛ. ΠΑΛ. [ΘΕΟΙ ΝΕΠΟΔΕΣ. Οἷον μηκέτι ζῶντες, μηδὲ κινεῖν πόδα δυνάμενοι θεοὶ ὠνομάσθησαν. M.] — ΣΧΟΛ. ΝΕΩΤ. ΓΕΓΑΩΤΕΣ, γεγονότες, s. l. M.

26. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΙΝ, αὐτοῖς, s. l. M. ΚΑΡΤΕΡΟΣ, ὁ ἰσχυρός, s. l. M. ΗΡΑΚΛΕΙΔΑΣ, ὁ υἱὸς τοῦ Ἡρακλέους, s. l. M.

27. ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΙΘΜΕΥΝΤΑΙ, ἀνάγονται, s. l. M. ΕΣΧΑΤΟΝ, τελευταῖον, s. l. M.

28. ΣΧΟΛ. ΝΕΩΤ. ΤΩ, οὗ χάριν, s. l. M. ΔΑΙΤΗΘΕΝ, ἐξ εὐωχίας τῶν θεῶν, s. l. M. ΙΟΙ, ἦλθεν, s. l. M. ΚΕΚΟΡΗΜΕΝΟΣ, κεκορεσμένος, s. l. M.

Digitized by Google

Νέκταρος εὐόδμοιο, φίλας ἐς δῶμ' ἀλόχοιο,
Τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν, 30
Τῷ δὲ σιδάρειον σκύταλον, κεχαραγμένον ὄζοις·
Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρω Ἥβας
Ὅπλα, καὶ αὐτὸν ἄγοντι γενείταν Διὸς υἱόν.

V. 30. ὑπολένιον Ott. — φαρέτρην Y.

V. 31. σιδάρεον L. P. σιδήρειον Y. — σκύπταλον O. — κεχαρασμένον Vat. 12. — ὄσδοις Brunck.

V. 32. οἳ δ' Ott. ἃ δ' c. — λευκοσφύρω sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. λευκοσφύρου quod Y. Z, Reisk. Harles. — ἥβης p.

V. 33. ἄγοντι sic cum Wintert. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. ἄγουσιν quod Ott. N. O. Y. Z, Ald. Call. Junt. vett. edd. Reisk. Harles. ἄγουσι w, Steph. — γενείταν w, Junt. Steph. unde recent. edd. γενείτην p. γενειτὰν Vat. 12. γεννήταν c, e, g, h, x, A. D. F. N. O. Z, Med. Ald. Call. vett. edd. Reisk.

---

29. ΣΧΟΛ. ΝΕΩΤ. ΕΥΟΔΜΟΙΟ, εὐόσμου, s. l. M. ΑΛΟΧΟΙΟ, γυναικός, s. l. M.

30. ΣΧΟΛ. ΠΑΛ. ΥΠΩΛΕΝΙΟΝ δὲ τὴν ὑπὸ μασχάλην οὖσαν. — ΣΧΟΛ. ΝΕΩΤ. ΤΩι ΜΕΝ ΤΟΞΟΝ ΕΔΩΚΕΝ. ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Τὸν Ἡρακλέα, φησί, ἐκ τῆς τῶν θεῶν εὐωχίας ἐλθόντα δοῦναι Πτολεμαίῳ καὶ Ἀλεξάνδρῳ τοῖς αὐτοῦ ἀπογόνοις, τῷ μέν, τόξον καὶ φαρέτραν, ἤτοι ὀϊστοδόκην· τῷ δέ, σιδηροῦν σκύταλον κεχαραγμένον ὄζοις. οἶμαι δὲ ῥόπαλον εἶναι, σιδηροῦν τὸν στηλειὸν ἔχον, ἐνδεδυμένον δέρματι, καὶ ὄζους τινὰς ἔχον, οἷα νῦν εἰσὶ τὰ κοινῶς ἀπελατίκια λεγόμενα, τὰ ἐκ πικρᾶς ἀμυγδαλῆς τὸν στηλειὸν ἔχοντα. M.

31. ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΥΤΑΛΟΝ, ῥόπαλον, s. l. M.

32. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣ ΑΜΒΡΟΣΙΟΝ, εἰς τὸν ἀθάνατον οἶκον τῆς λευκόποδος Ἥβης, ἤγουν τῆς γυναικὸς αὐτοῦ, s. l. M.

Digitized by Google

Οἷα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
Ἔπρεπε θηλυτέραις, ὄφελος μέγα γειναμένοισι· 35
Τᾶς μὲν Κύπρον ἔχοισα, Διώνας πότνια κώρα,
Κόλπον ἐς εὐώδη ῥαδινὰς ἐπεμάξατο χεῖρας·

V. 34. οἷα M. οἱ p. — περικλυτὰ a, c, e, h, p, s, w, Vat. 5, 9, 12, F. M. Y.

V. 35. θηλυτέραις sic cum e, p, s, Vat. 9, Wintert. Valck. Brunck. Gaisf. Kiessl. pro vulgat. θηλυτέρης quod A. D. F. N. P. Z, Reisk. Harles. — γειναμένησι a, e, Vat. 10, 12. γειναμένοισιν F. K, Kiessl.

V. 36. τᾶς sic cum c, e, w, K. M, Valck. Gaisf. Kiessl. pro vulgat. τῆς quod Z, Reisk. Harles. τᾶ k, Vat. ap. Sanct. ubi Glossa ἡ μὲν. τὰ L. P, Vat. 12. τῇ a, p, s, Vat. 9, Y. τᾷ Brunck. τῆς et in marg. γρ. τᾷ, D. — Κύπρις c, K. M. — Διώνα a, c, p, w, K. L. M. P. Vat. — κώρα sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. κούρα quod A. D. P. Y. Z, Reisk, Harles. κούρη w.

V. 37. ἐπεμάξατο vulgo et A. D. F. N. O. Z, Reisk. Harles. sic D, in quo corr. ἐσεμάξατο. ἐσεμάξατο a, c, k, s, w, Vat. 9, M. Y, Valck. Gaisf. Kiessl. ἐσεμάζατο p. ἐσεμάζητο Vat. 10. ἀπεμάξατο Schol.

---

34. ΣΧΟΛ. ΠΑΛ. Βερενίκην λέγει τὴν Λαγοῦ μὲν θυγατέρα, γυναῖκα δὲ Πτολεμαίου τοῦ Σωτῆρος. αὕτη, φησί, ἐν ταῖς σώφροσι γυναιξὶν [1] εὔδηλος ἦν. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΙΝΥΤΑΙΣΙ, φρονίμοις, s. l. M. ΠΕΡΙΚΛΥΤΑ, περικλυτή, ἔνδοξος, s. l. M.

35. ΣΧΟΛ. ΝΕΩΤ. ΘΗΛΥΤΕΡΗΙΣ, γυναιξί, s. l. M. ΓΕΙΝΑΜΕΝΟΙΣΙ, γεννησάσαις, s. l. M.

36. ΣΧΟΛ. ΠΑΛ. Ἡ Ἀφροδίτη, φησίν, αὐτῆς εἰς τὸν κόλπον ἀπεμάξατο τὰς χεῖρας, τουτέστιν, ἐπαφρόδιτον ἐποίησεν αὐτήν· διὸ καὶ ἠγαπᾶτο ὑπὸ τοῦ ἀνδρός.

37. ΣΧΟΛ. ΝΕΩΤ. ΡΑΔΙΝΑΣ, λεπτάς, s. l. M. ΕΠΕΜΑΞΑΤΟ, ἐςεμάξατο, s. l. M.

---

(1) διάδηλος M.

Digitized by Google

Τῷ οὔπω τινὰ φαντὶ ἀδεῖν τόσον ἀνδρὶ γυναῖκα,
Ὅσσον περ Πτολεμαῖος ἐὰν ἐφίλασεν ἄκοιτιν·
Ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον. ὧδέ κε παισὶ 40
Θαρσήσας σφετέροισιν ἐπιτρέπει οἶκον ἅπαντα,

V. 38. γυναῖκα Call. Steph. Reisk. Harles. Kiessl. Valck. γυναικᾶν a, g, h, l, x, Ott. A. F. N. O. Z et D, in quo suprascr. γυναικῶν. item Ald. vett. edd. Steph. in marg. γυναικῶν e, k, s, w, Vat. 9, K. L, M. P. Y, Gaisf.

V. 39. ἐὴν vulgo Y. Z, Reisk. Harles. ἐὰν Brunck. Valck. Gaisf. Kiessl. — ἐφίλησεν w, Y. — ἄκοιτην Ott. pro quo γυναῖκα e.

V. 40. καὶ pro κε Cæs. — παισὶν K. M, Kiessl.

V. 41. σφετέρῃσιν w. — ἐπιτρέποι Vat. 5, L. P, Junt. Kiessl. Gaisf. ἐπιπρέπει p.

---

38. ΣΧΟΛ. ΝΕΩΤ. Τωι, ἐν τούτῳ, s. l. M. ΑΔΕΙΝ, ἀρέσκειν, s. l. M.

39. ΣΧΟΛ. ΝΕΩΤ. ΕΗΝ, ἰδίαν ἐφίλησε γυναῖκα, s. l. M.

40. ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΝ, μήν, s. l. M. ΩΙΔΕ, οὕτως, s. l. M.

41. ΣΧΟΛ. ΠΑΛ. Ζῶν γὰρ ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν. [1] τρεῖς δὲ ἐγένοντο Πτολεμαῖοι· ὁ Λαγωός· ἐγέννησε δὲ οὗτος τὸν Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις εἶχε τὴν Βερενίκην γυναῖκα· οὗτος δὲ πάλιν ἐγέννησε Πτολεμαῖον τὸν Φιλάδελφον, ὅστις εἶχε γυναῖκα τὴν Ἀρσινόην. — ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΕΤΕΡΟΙΣΙΝ, ἰδίαις, s. l. M. ΕΠΙΤΡΕΠΕΙ, δίδωσι, s. l. M. ΤΟΥ ΤΡΙΚΑΙΝΙΟΥ. Ζῶν ἔτι, φησίν, ὁ Σωτὴρ Πτολεμαῖος, κοινωνὸν τῆς ἀρχῆς τὸν Φιλάδελφον ἐποιήσατο. εἰ δὲ τὸ ὁπότε κεν φιλέων συνάψεις μετὰ τοῦ ἀντεφιλεῖτο πολὺ πλέον, τὰ δὲ ἑξῆς διὰ μέσου εἴπῃς, οὐκ ἄτοπον ἦν. M.

---

(1) Vid. Jos. Scaliger. ad Euseb. p. 133, b. *Hemsterh.*

Digitized by Google

Ὁππότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεούσης.
Ἀστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν,
Ῥηΐδιοι δὲ γοναί, τέκνα δ' οὔποτ' ἐοικότα πατρί.
Κάλλει ἀριστεύοισα θεάων πότν' Ἀφροδίτα, 45
Σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα

V. 42. ὁππόκε p. ὁ pro κεν L. P. κε Brunck. — βαῖνεν vulgo e, g, h, l, x, A. F. N. O, Med. Ald. Call. vett. edd. Reisk. Harles. sic D, in quo corr. βαίνει. βαίνοι p, s, Vat. 10, Y. βαίνει w, Steph. qui in marg. βαῖνεν. nos βαίνῃ cum Junt. Brunck. Valck. Gaisf. Kiessl. — φιλεούσης sic vulgo cum A. D. F. N. O. P. Y. Z, Reisk. Harles. φιλεούσας Wintert. Brunck. Valck. Gaisf. Kiessl.

V. 43. ἀστόργου sic vulgo cum A. D. Y. Z, Reisk. Harles. ἀστόργω Wintert. Valck. Gaisf. Kiessl. — ἀλλοτρίων k, p, Vat. ἀλλοτρίῳ L. P, et D, in quo corr. ἀλλοτρίων. ἀλλοτρίας K. — λέχος pro νόος L. P. — ἐστὶ pro αἰεν e. αἰεὶ Vat.

V. 44. ῥηΐδιοι sic cum e, k, p, w, Vat. 12, K. L. M. P, Brunck. Kiessl. ῥαΐδιαι Reisk. Valck. Harles. — οὔπωτ' K.

V. 45. κάλλει πότνι' ἀριστεύουσα x, A. D. F. O et N, in quo corr. κάλλει ἀρ. Med. x. πότνι' ἀριστευόισα g, h, l, Ott. ἀριστεύουσα p, Y. Z. — θεάνων x. θεά Vat. — ποτνι' p, Vat. a, h, Ald. Call. vett. edd. πότν' w, Steph. unde recent. edd. — Versus deest in K.

V. 46. ἕνεκα a, c, p, Vat. 9, 10, Brunck. ἕνεκ' ἁ s, Y.

---

42. Σχολ. νεωτ. Ὁππότε, ὅτε, s. l. M. Βαίνει λέχος, ὅτε συνεκάθευδε τῇ γυναικί, s. l. M.

43. Σχολ. νεωτ. Ἀστόργου, ἀφίλου, s. l. M. Ἀλλοτρίῳ, ἀνδρί, s. l. M. Νοος, νοῦς, s. l. M.

44. Σχολ. νεωτ. Ῥηΐδιαι, ἤγουν εὐκόλως τέκνα γεννᾷ, s. l. M. Εοικοτα, ὅμοια, s. l. M.

45. Σχολ. νεωτ. Αφροδιτα, ὦ Ἀφροδίτη, s. l. M.

46. Σχολ. παλ. Μεμελητο. Ἤγουν ἐν ἐπιμελείᾳ καὶ φροντίδι ἦν. — Σχολ. νεωτ. Τηνα, ἐκείνη, s. l. M.

Digitized by Google

Εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν·
Ἀλλά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶμα κατενθεῖν
Κυάνεον, καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
Ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμᾶς. 50

V. 47. πολύπονον Vat. 12. — ἐπέρησαν c. ἐπέρασσεν D.

V. 48. ἁρπάζουσα P. — νᾶα e, s, w, Vat. 9, L. M. P. Y, Call. νῆα k, K. νᾶμα et corr. νᾶα, D. νᾶσα Vat. — κατενθεῖν sic cum F, Ald. Call. vett. edd. Steph. Reisk. Harles. κατενθῆν Brunck. Valck. Gaisf. Kiessl. κατελθεῖν p, w, K. Y. κατελθῆν Vat. 10.

V. 49. κυανέα a, p, w, Vat. 5, 12, L. P. κυανέαν c, e, k, K. M. Y, Call. — καμόωντα L. P. καμνόντων k.

V. 50. εἰς w. — νηόν Y. — ἑᾶς w, Vatt. Steph. Wintert. Brunck. Valck. Harles. Gaisf. Kiessl. ἑᾶς p, Y, Call. Junt. τεᾶς g, h, l, x, Ott. A. F. O. Med. Ald. Schol. τεᾶς, et corr. ἑᾶς, D. N. τεᾶς Z, Call. — ἀπεδάσσαο w, A. D. F. O. ἀπεδάσατο Vat. ἀπεδαίσαο Vat. 9, Y. ἀπεδάζατο p. — τιμὰς p, Vat. A. D. O. Y, Junt. Ald. Schol. Reisk. τιμᾶς vulgo Call. Steph. vett. edd. unde recentiores.

ΣΕΘΕΝ Δ' ΕΝΕΚΕΝ, διὰ φροντίδος ἣν σοι ἡ Βερενίκη, s. l. M.

48. ΣΧΟΛ. ΝΕΩΤ. ΜΙΝ, αὐτήν, s. l. M. ΑΡΠΑΞΑΣΑ, σύ, s. l. M. ΠΑΡΟΙΘ', πρὸ τοῦ κατελθεῖν; s. l. M.

49. ΣΧΟΛ. ΝΕΩΤ. ΣΤΥΓΝΟΝ, χαλεπόν, s. l. M. ΠΟΡΘΜΗΑ, τὸν Χάροντα, s. l. M. ΚΑΜΟΝΤΩΝ, τῶν νεκρῶν, s. l. M.

50. ΣΧΟΛ. ΠΑΛ. ΑΠΕΔΑΣΣΑΟ. Ἀπεμερίσω· τὰς σὰς τιμὰς ἀπένειμας αὐτῇ. — ΣΧΟΛ. ΝΕΩΤ. ΕΑΣ, τὰς ἰδίας σου, s. l. M. ΑΠΕΔΑΣΣΑΟ, ἐμέρισας αὐτῇ, s. l. M.

Digitized by Google

Πᾶσιν δ' ἥπιος ἡδὲ βροτοῖς μαλακοὺς μὲν ἔρωτας
Προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.
Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα,
Μισγομένα Τυδῆϊ, τέκες, καλυδώνιον ἄνδρα·
Ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα 55

V. 51. πᾶσι δ' ἥπια p. — ἡδὲ vulgo Y. Z, Reisk. Harles. ἁδὲ Brunck. Valck. Gaisf. Kiessl. — μαλακούς vulgo Y. Z, Reisk. Harles. μαλακὼς Wintert. Brunck. Valck. Gaisf. Kiessl.

V. 52. προσπνείη a, p, Vat. — προσπνέοντι a, g, h, l, x, Ott. Vat. 9, A. D. F. O. Z, sic manus 1ª, et in marg. γρ. ποθέοντι, N. προπνέοντι s, Y. πορνέοντι Vat. 5.

V. 53. σύλας Ott. λαοφόνιον L. P. — Διομήδην c, w, L. M. P. Διορήδαν K.

V. 54. σμιγομένη Vat. 12.

V. 55. ἀλλὰ et in marg. ἡδὲ, A. O. ἁδὲ F. — ἀκοντιστὴν p. — Ἀχιλλῆα p, Y.

---

51. ΣΧΟΛ. ΝΕΩΤ. ΗΠΙΟΣ, ἥμερος, s. l. M. ΜΑΛΑΚΟΥΣ, ἡμέρους, s. l. M.

52. ΣΧΟΛ. ΠΑΛ. Τοῦτο δὲ ποιεῖ, φησίν, ἐπεὶ ἡ Ἀφροδίτη ἀπαθανατίσασα αὐτήν, τῶν δυνάμεων καὶ τιμῶν ἐκοινώνησεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΟΣΠΝΕΙΕΙ, προσπνέει, s. l. M. ΔΙΔΟΙ, δίδωσι, s. l. M. ΜΕΡΙΜΝΑΣ, φροντίδας, s. l. M.

53. ΣΧΟΛ. ΠΑΛ. ΑΡΓΕΙΑΝ, εἶπε τὴν τοῦ Διομήδους μητέρα Δηϊπύλην, καθὰ ἐξ Ἄργους ἦν, Ἀδράστου θυγάτηρ. ἦν δὲ ὀνομαστικῶς καὶ Ἀργεία καλουμένη. — ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΓΕΙΑ, Δηϊπύλη, s. l. M. ΚΥΑΝΟΦΡΥ, μελάνοφρυ, s. l. M. ΛΑΟΦΟΝΟΝ, τὸν πολλοὺς λαοὺς φονεύοντα, s. l. M.

54. ΣΧΟΛ. ΠΑΛ. ΚΑΛΥΔΩΝΙΟΝ, φησὶ τὸν Διομήδην, ὅτι ὁ Τυδεὺς ἦν ἐκεῖθεν. — ΣΧΟΛ. ΝΕΩΤ. ΜΙΣΓΟΜΕΝΑ, συγκοιμωμένη τῷ Τυδεῖ, s. l. M. ΚΑΛΥΔΩΝΙΟΝ, τὸν ἐκ Καλυδῶνος πόλεως, s. l. M.

55. ΣΧΟΛ. ΝΕΩΤ. ΑΧΙΛΗΑ, ἔτεκεν, s. l. M.

Digitized by Google

Αἰακίδᾳ Πηλῆϊ, σὲ δ', αἰχμητὰ Πτολεμαῖε,
Αἰχμητᾷ Πτολεμαίῳ ἀρίζαλος Βερενίκα·
Καί σε Κόως ἀτίταλλε, βρέφος νεογιλὸν ἐόντα
Δεξαμένα παρὰ ματρός, ὅτε πράταν ἴδες ἀῶ.
Ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον, 60

V. 56. αἰχμητὸν p.

V. 57. αἰχμητῆ w. αἰχμητοῦ P. — ἀρίζαλος sic cum a, p, s, Vat. 9, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀρίζηλος quod A. Z, Reisk. Harles.

V. 58. ἀτίταλλαι Z. — νεογιλὸν c, k, w.

V. 59. ὅταν Vat. 12. — πράταν sic cum w, Wintert. Valck. Gaisf. Kiessl. pro vulgat. πρώταν quod Y. Z, Reisk. Harles. πρᾶτον c, e, Vat. 12.

V. 60. εἰληθείαν e. εἰλήθυιαν M, Brunck. — ἐβάσατο K. ἐβώσατο Vat. 10. — λυσίζωον e, p.

---

56. Σχολ. νεωτ. Πηληϊ, μισγομένη τῷ Πηλεῖ, s. l. M. Αιχμητα, πολεμιστά, s. l. M. Πτολεμαιε, ἔτεκε, s. l. M.

57. Σχολ. νεωτ. Πτολεμαιωι, μισγομένη, s. l. M.

58. Σχολ. παλ. Κωσ. Ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης. — Σχολ. νεωτ. Κωσ, ἡ νῆσος, s. l. M. Ατιταλλε, ηὔξησεν, ἔθρεψε, s. l. M. Νεογιλον, νεὸν ὄντα, s. l. M.

59. Σχολ. νεωτ. Δεξαμενα ἡ νῆσός σε, Οτε πραταν, ἤγουν ὅτε πρῶτον τὸ φῶς εἶδες, τὴν ἡμέραν, s. l. M.

V. 50. Inter verss. 50 et 51 hæc inserta leguntur in Vat. 11 : ἤ ῥα γυνὴ Φοίνισσα μύλαις ἐπὶ κοῖτον ἔχοισιν. eadem leguntur in c ubi tamen ἔχουσα, et in D, ubi ἤρα γυνὰ et etiam ἔχουσα. quæ Valck. putat inter verss. 49 et 50 legi potuisse, ita ut corrigat κοῖτον ἔχοισα.

V. 51. καιομένοις Vat. 11. δαιομένοισιν Kiessl.

V. 52. δμώων Vat. 11. — ἐνεσπλήθη c. — ἑκάστου vulgo Reisk. Harles. ἑκάστω Wintert. Valck. Gaisf. Kiessl.

V. 53. εἶδον c. — ἐπιτύτθιον Call. vett. edd. ante Steph.

Digitized by Google

Θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα,
Συμπλήγδην ἰάχησαν· ὁ δ' ἐς πατέρ' Ἀμφιτρύωνα 55
Ἑρπετὰ δεικανάασκεν, ἐπάλλετο δ' ὑψόθι χαίρων
Κωροσύνᾳ, γελάσας δὲ πάρος κατέθηκε ποδοῖιν
Πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
Ξηρὸν ὑπαὶ δείους ἀκράχολον Ἰφικλῆα· 60
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν
Παῖδα· πάλιν δ' ἐς λέκτραν ἰὼν ἐμνάσατο κοίτω.
Ὄρνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,
Ἀλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμόν, 65
Καί νιν ὑποκρίνεσθαι ὅπως τελέεσθαι ἔμελλεν
Ἠνώγει· Μηδ', εἴ τι θεοὶ νοέοντι πονηρόν,
Αἰδόμενος ἐμὲ κρύπτε· καὶ ὡς οὐκ ἔστιν ἀλύξαι

V. 55. ἰάχουσαν Vat. 11. ἰάχεισαν c.

V. 56. δεικανάασκεν c, D, Junt. unde Brunck. Gaisf. Kiessl. pro vulgat. δεικανάεσκεν quod Reisk. Valck. Harles.

V. 57. πατρὸς c.

V. 59. λάβε Kiessl. cum Schæfero pro vulgat. βάλε.

V. 60. ξηρὸν et in marg. ἢ δειλὸν D. — ὑπ' αἰδείους D. ὑπὸ in textu quidem Brunck. in notis vero ὑπαὶ tuetur. δείης Call. vett. edd. ante Steph. — ἀκρων †ἄχολον (sic) c.

V. 61. ὑπάμειαν c. ἀγνείας Vat. 11.

V. 62. δ' om. c. — κοίτου vulgo et Reisk. Harles. κοίτω Wintert. Valck. Gaisf. Kiessl. κοίτα Vat. 11.

V. 63. ὄρνιθες sic vulgo cum Reisk. Harles. ὄρνιχες Wintert. Brunck. Valck. Gaisf. Kiessl. — ἄεισαν Vat. 11.

V. 65. χρέος om. c. χρέως Call. vett. edd. ante Steph. τέρας pro χρέος Vat. 11, Brunck.

V. 66. μιν c. — ἔμελλον Vat. 11.

V. 67. αἴ τι Brunck. — νοέοντι sic vulgo cum D, Reisk. Harles. Gaisf. Kiessl. νοέοιντο Vat. 11, Valck.

V. 68. ἐμὲ om. c. — ἀλέξαι, et corr. ἀλύξαι, D.

Digitized by Google

Ἀνθρώποις ὅ τι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει,
Μάντι Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω. 70
Τὼς ἔλεγεν βασίλεια. ὁ δ' ἀνταμείβετο τοίως·
Θάρσει, ἀριστοτόκεια γύναι, περσήϊον αἷμα·
Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος, ἀπαχόμενον πάλαι ὄσσων,
Πολλαὶ Ἀχαιϊάδων μαλακὸν περὶ γούνατι νᾶμα
Χειρὶ κατατρίψοντι, ἀκρέσπερον ἀείδοισαι 75
Ἀλκμήναν ὀνομαστί· σέβας δ' ἔσῃ Ἀργείαισι.
Τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
Ἀμβαίνειν τεὸς υἱός, ἀπὸ στέρνων πλατὺς ἥρως,
Οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκῇν 80
Μόχθως· θνατὰ δὲ πάντα πυρὰ τραχίνιος ἐξεῖ.
Γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἷ τάδ' ἐπῶρσαν

V. 69. ἀνθρώποις Junt. Steph. unde recent. edd. ἀνθρώπους Call. vett. edd. — ὅτι Vat. 11.

V. 70. μάντιν Vat. 11. — εὐκρείδα D, Call. vett. edd. ante Steph. — φρονέοντι Vat. 11.

V. 71. τόσσ' Vat. 11. — τοῖος Vat. 11.

V. 72. Inter hunc et sequentem versum inseritur iste mutilus in Vaticano 11 : θάρσει μελλόντων δὲ τὸ λώϊον ἐν φρεσί. sic etiam in c et D, ubi θέσθαι 2ª manu additum est.

V. 74. νᾶμα sic cum D, Junt. Steph. Reisk. Harles. νῆμα Brubach. Brunck. Gaisf. Valck. Kiessl. νεῖμα Call.

V. 75. κατατρίψοντι c, D, Call. Reisk. Br. Harles. Valck. Gaisf. Kiessl. κατατρέψοντι Junt. καταστρέψοντι Steph.

V. 76. ἐσῇ Brunck. — Ἀργείαισιν Kiessl.

V. 80. οἰκῆς D, c, Vat. 11. οἰκεῖν Call. vett. edd. ante Steph. qui primus οἰκῇν.

V. 81. μόχθως· θνατὰ sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. μόχθους· θνητὰ quod Reisk. Harles. μόχθοις Vat. 11. μόχθος Junt.

V. 82. ὃς c.

Digitized by Google

Κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
Ἔσται δὴ τοῦτ' ἄμαρ, ὁπανίκα νεβρὸν ἐν εὐνᾷ
Καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει. 85
Ἀλλά, γύναι, πυρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
Κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ', ἢ παλιούρω,
Ἢ βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
Καῖε δὲ τώδ' ἀγρίαισιν ἐπὶ σχίζαισι δράκοντε
Νυκτὶ μέσᾳ, ὅκα παῖδα κανῆν τεὸν ἤθελον αὐτοί. 90
Ἤρι δὲ συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις
Ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα,
Ῥωγάδας ἐς πέτρας, ὑπερούριον· ἂψ δὲ νέεσθαι
Ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ

V. 84. ὁπανίκα sic cum Wintert. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ὁπηνίκα quod Reisk. Harles. — νεκρὸν et corr. νεβρὸν, D.

V. 85. ἐθελησεῖ Wintert. Brunck. Valck. — Desinit cum hoc versu Vaticanus undecimus.

V. 86. σποδὸν εὔτυκτον c. ὑποσποδὸν et corr. ὑπὸ σποδῷ D. εὔτεκτον et in marg. γρ. εὔτυκον D.

V. 89. ἀγρίαισιν ἐ. σχίζαισι sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. ἀγρίῃσιν ἐ. σχίζῃσι quod Reisk. Harles. ἀγρίῃσιν ἐ. σχίζῃσι Call. σχίξῃσι Junt. — δράκοντες et corr. δράκοντα et in marg. δράκοντε D.

V. 90. μέσω, et corr. μέσα, D. — κανῆν sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. κανῇν quod Reisk. Harles. — τεὸν om. c. — αὐτοῦ c.

V. 91. συλλέξαισα D, Junt. Call. edd. vett. ante Steph. Brunck.

V. 92. φέρουσα sic vulgo cum Reisk. Harles. φέροισα Wintert. Brunck. Valck. Gaisf. Kiessl.

V. 93. ῥαγάδας c et D, in quo corr. ῥωγάδας, D. ῥωγάδος ἐκ π. Brunck. — ὑπερούριον sic cum Reisk. Harles. Gaisf. Kiessl. ὑπὲρ οὔριον Call. vett. quædam edd. aliæ ὑπὲρ οὔρ. quod Steph.

V. 94. ἄτρεπτος c et D, in quo corr. ἄστρεπτος. — πυράσατε c.

Digitized by Google

Πρᾶτον· ἔπειτα δ' ἄλεσσι μεμιγμένον (ὡς νενόμισται) 95
Θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον,
Δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε.
Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
Τειρεσίας, πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς. 100
Ἡρακλέης δ' ὑπὸ ματρί, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
Ἐτρέφετ', ἀργείου κεκλημένος Ἀμφιτρύωνος.
Γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
Υἱὸς Ἀπόλλωνος, μελεδωνεὺς, ἄγρυπνος, ἥρως·
Τόξον δ' ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστῶν, 105
Εὔρυτος, ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
Αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασσεν
Πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
Ὅσσα δ' ἀπὸ σκελέων ἐδροστρόφοι Ἀργόθεν ἄνδρες
Ἀλλάλως σφάλλοντι παλαίσμασιν, ὅσσα τε πύκται 110

V. 95. ἄλεσσι et corr. ἄλλεσσι et in marg. γρ. ἕλεσι, D.

V. 97. καθυπερτέρα Junt.

V. 98. ὡς Brunck.

V. 99. φῇ Call. vett. edd. Steph. φᾶ Junt. unde recent. edd.

V. 101. ἀλωῇ Call. vett. edd. ἀλωᾷ Junt. unde Steph. et recent. edd.

V. 102. ἀργείου sic vulgo cum Reisk. Harles. ἀργείῳ Wintert. Valck. Gaisf. Kiessl. — βεβλημένος et corr. κεκλημένος D.

V. 105. οἴστὸν Brunck.

V. 106. πατέρων sic cum Junt. Steph. Valck. Gaisf. Kiessl. πατέρος Call. vett. edd. ante Steph. Reisk. Brunck. Harles.

V. 107. ἔπλασσεν sic cum D (cujus in marg. ἔθηκε), Junt. Valck. Gaisf. Kiessl. pro vulgat. ἔπλαξε quod Steph. Reisk. Harles. ἔπλασθεν c. ἔπλαξαι Call. vett. nonnullæ edd.

V. 110. ἀλλάλους c et D, in quo corr. ἀλλάλοις. ἀλλήλους Call. vett. edd. Steph. — σφάλοντι Call. vett. al. duæ. — παλαίμασι ὅσσα τέτυκται c.

Digitized by Google

Δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ' εἰς γαῖαν προπεσόντες
Παμμάχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
Πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ
Ἀρπαλύκῳ Φανοτῆϊ· τὸν οὐδ' ἂν τηλόθι λεύσσων
Θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι· 115
Τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προςώπῳ.
Ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρματι, καί, περὶ νύσσαν
Ἀσφαλέως κάμπτοντα, τροχῷ σύριγγα φυλάξαι,
Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν
Αὐτός, ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ' ἀγώνων 120
Ἄργει ἐν ἱπποβότῳ κειμήλια· καί οἱ ἀαγεῖς
Δίφροι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
Δούρατι δὲ προβολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχοντα,
Ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν,
Κοσμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμετρήσασθαι 125
Δυςμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ ἱππαλίδας ἔδαεν, φυγὰς Ἄργεος ἐνθών,

V. 112. πάγμαχοι et in marg. Πάμμαχοι, D. παμμάχοι Brunck. Gaisf. Kiessl. πανμάχοι c. — σύμφορα τέχναι et in marg. δύςμορα τέχνα, D. σύμονα τέχναις c.

V. 114. φανοπῆϊ et corr. φανοτῆϊ D. φανοτῆϊ c, Steph. in marg. Brunck. Valck. Gaisf. Kiessl. vulgo φανοπῆϊ Reisk. Harles. — τὸν δ' c.

V. 115. θαρσαλέος Brunck.

V. 116. ἐπισάννιον c.

V. 117. ἵππος c. ἵππως Winterton. — δ' om. Junt.

V. 118. τροχῶ Junt. Call. Brunck. Gaisf. Kiessl. vulgo τροχῷ quod servarunt Reisk. Valck. Harles.

V. 119. ἐδίδαξεν c.

V. 122. διέλυσσαν Call. vett. edd. ante Steph. qui διέλυσαν.

V. 125. φάλαγγε Junt.

V. 127. ἱππαλίδας δ' c, D. — ἔδαε, φυγὰς Brunck. — ἐνθών sic cum c, Wintert. Valck. Gaisf. Kiessl. pro vulgat. ἐλθὼν quod Reisk. Harles.

Digitized by Google

Ὀππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
Ναῖε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Κάστορι δ' οὔτις ὅμοῖος ἐν ἀμιθέοις πολεμιστὰς 130
Ἄλλος ἔην, πρὶν γῆρας ἀποτρίψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ.
Εὐνὰ δ' ἧς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρός,
Δέρμα λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ·
Δεῖπνον δέ, κρέα τ' ὀπτά, καὶ ἐν κανέῳ μέγας ἄρτος 135
Δωρικός, ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
Αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον·
Εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἔννυτο κνάμας.

[Λείπει τὸ τέλος τοῦ παρόντος Εἰδυλλίου.]

V. 128. ὤποκα D, Call. vett. edd. ante Steph. qui ἀππόκα.

V. 129. λαβὼν, et corr. λαχὼν, D.

V. 130. πολεμιστὰς sic cum Wintert. Valck. Gaisf. Kiessl. pro vulgat. πολεμιστής quod D, Reisk. Harles. πολεμίκτας Brunck.

V. 131. ἀποτρίαι Junt. — νεότατα Brunck.

V. 135. δεῖπνόν τε κρέατ' D, c, Junt. Call.

V. 136. καὶ pro κε D.

V. 137. Asteriscum huic versui adscripsit Call.

V. 138. ὑπεραίνυτο κνάμας c. κνάμας Wintert. et recent. edd. vulgo κνήμας vett. edd. — Post hunc v. legitur in Junt. ἀτελές.

Digitized by Google

ARGUMENTUM

IDYLLII XXV.

In hoc poëmate, sive poëmatis potius fragmento Hercules repræsentatur in agro Eleo, circa Augiæ stabula. Quo quum venisset, a sene quodam rustico ad regem deducitur — 84, qui ad armenta sua invisenda ex urbe in agrum concesserat. Intexitur descriptio gregis immensi a pascuis redeuntis — 137, ubi quum taurus, inter ceteros robore excellens, Herculem aggreditur, nulloque ab eo repellitur negotio, regis puerique regii animus magna fortissimi viri admiratione percellitur — 150. Inde dum in eadem via pergunt, Phyleus, hoc enim nomine Augiæ filius appellabatur, Herculem rogat, ut, quibus artibus Nemeum leonem superaverit, sibi enarrare velit — 189, cui morem gerens Hercules omnem rem, quomodo acta sit, diserte enarrat. — Theocriti poëma esse nonnulli dubitant. Stolbergius (in Præf. ad *Gedichte aus dem Griechischen übersetzt* p. XIII) sententiam eorum, qui ad Pisandrum, Tyrtæi æqualem (sæculo VII, ante Chr.), referunt carmen, maxime probabilem esse judicat. Pariter Kœppenius (in libro: *Griechische Blumenlese* Tom. I, p. 147 sqq. coll. Tom. III, p. CXIX.) poëtam Theocrito antiquiorem id condidisse arbitratur, sed utrum Pisander an Panyasis (sec. V, ante Chr.) auctor putandus sit, constituere non audet. Hanc sententiam satis refutavit Eichstadtius p. 34 sq. qui ipse cum Beckio, p. 42, *Rhapsodo* alexandrino id tribuendum esse existimat. — Hermannus tamen ad Orpheum p. 691 sq. Theocriti ingenio non indignum videri censet. — Ad restituendum Idyllii initium effinxit olim grammaticus quidam anonymus versus aliquos satis insulsos, qui in nonnullis veteribus edd., ut Basileensi a. 1530, leguntur. Jos. Scaliger quoque eos repetiit in Emendatt. ad Theocr. (in ed. Reiskii Tom. 2, p. 46, 47.)

Digitized by Google

ΗΡΑΚΛΗΣ ΛΕΟΝΤΟΦΟΝΟΣ

Η ΚΑΤΑ ΤΙΝΑ ΑΝΤΙΓΡΑΦΑ

ΑΥΓΕΙΟΥ ΚΛΑΡΟΣ.

ΕΙΔΥΛΛΙΟΝ ΚΕ'.

[Λείπει ἡ ἀρχή.]

[Ἡρακλῆς πρὸς Ἀγροῖκον. Δωρίδι. Διηγηματικόν. Μ.]

Τὸν δ' ὁ γέρων προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ,
Παυσάμενος ἔργοιο, τό οἱ μετὰ χερσὶν ἔκειτο·

V. 1. φυτῶν ἐπίουρος ἀροτρεύς c, w, Brunck. Gaisf. Kiessl. βοῶν ἐπίουρος ἀροτρεύς M, Apogr. Ald. φυτῶν ἐ. ἀρ. Vat. 9. ἐπὶ βουκόλος Call. vett. nonnullæ edd. ἐπιβουκόλος Brubach. Steph. Reisk. Valck. Harles.

V. 2. μετὰ φρεσσὶν Vat. 9.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ. ΤΡΙΚΛΙΝΙΟΥ. Καὶ τὸ παρὸν εἰδύλλιον σύγκειται ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων σπ', ὧν τελευταῖος· Πολλὰ πάρος μήλοισι καὶ ἀνδράσι πήματα θέντος. Μ.

1. ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΟΣΕΕΙΠΕ, προςεῖπε. ΕΠΙΟΥΡΟΣ, ἀκόλουθος, ἐπιμελητής, s. l. M.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΟΙ, αὐτοῦ. ΜΕΤΑ ΧΕΡΣΙΝ, ἐν χερσίν. ΕΚΕΙΤΟ, ἦν. s. l. M.

22.

Digitized by Google

Ἔκ τοι, ξεῖνε, πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο·
Τὸν γὰρ φασὶ μέγιστον ἐπουρανίων κεχολῶσθαι, 5
Εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
Ποίμναι μὲν βασιλῆος ἐύτριχες Αὐγείαο
Οὐ πᾶσαι βόσκονται ἴαν βόσιν, οὐθ' ἕνα χῶρον·

V. 3. ὡς pro ὅσσ' c, w, M.

V. 4. ἀζόμενος Vat. 9, M. ἑζόμενος et corr. ἑξόμενος D. — δεινὴν ὄπιν w. ξεινὴν Call. vett. edd. ante Steph. ὄπιν ὁδίοιο D.

V. 5. τὸν δὲ γὰρ c. — ἐπουρανίων w, Steph. ἐπουράνιον Call. vett. edd. ante Steph.

V. 6. ὁδίταν c, w, Vat. 9, M.

V. 7. εὔφρονος pro ἐύτριχες c, w, Vat. 9, M, Brunck.

V. 8. πᾶσαι μὲν D. — οἴαν βοτάνην Vat. 9. — οὐθ' Vat. 9, M, Kiessl. οὐδένα D. οὐδ' ἕ. vulgo Reisk.

---

3. ΣΧΟΛ. ΝΕΩΤ. ΕΚ ΤΟΙ, ἐκμυθήσομαι. ΞΕΙΝΕ, ὦ ξένε. ΠΡΟΦΡΩΝ, πρόθυμος. ΜΥΘΗΣΟΜΑΙ, λέξω. ΕΡΕΕΙΝΕΙΣ, ἐρωτᾷς, s. l. M.

4. ΣΧΟΛ. ΝΕΩΤ. ΕΡΜΕΩ, τοῦ Ἑρμοῦ. ΑΖΟΜΕΝΟΣ, τιμῶν. ΔΕΙΝΗΝ, φοβερὰν ἐντολήν. ΕΙΝΟΔΙΟΙΟ, εὐοδίου, s. l. M.

5. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΟΥΡΑΝΙΩΝ, τῶν θεῶν. ΚΕΧΟΛΩΣΘΑΙ, ὀργίζεσθαι, s. l. M.

6. ΣΧΟΛ. ΝΕΩΤ. ΖΑΧΡΕΙΟΝ, ἤγουν ἄγαν χρῆζοντα. ΑΝΗΙΝΗΤΑΙ, ψεύσηται, ἀπατήσῃ, s. l. M.

7. ΣΧΟΛ. ΝΕΩΤ. ΕΥΦΡΟΝΟΣ, φρονίμου. ΑΥΓΕΙΑΟ, Αὐγείου, s. l. M.

8. ΣΧΟΛ. ΝΕΩΤ. ΙΑΝ, μίαν. ΒΟΣΙΝ, ἤγουν βοσκήν. ΧΩΡΟΝ, τόπον, s. l. M.

Digitized by Google

Ἀλλ' αἱ μέν ῥα νέμονται ἐπ' ὄχθαις ἀμφ' Ἑλισοῦντος,
Αἱ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο, 10
Αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἱ δὲ καὶ ὧδε.
Χωρὶς δὴ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.
Αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης
Πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι,

V. 9. ἄλλαι D, Call. vett. edd. ante Steph. ἀλλ' αἱ vulgo et w, Steph. unde cet. — νέμονται c, w, Vat. 9, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. νάοντος quod D, Reisk. Harles. — ὑπ' ὄχθ. Vat. 12 ap. Gaisf. — ἀμφελισοῦντος una voce et suprascr. ἀμφελινοῦντος, D. Ἑλινοῦντος Junt. ἀμφ' ἑλιστοῦν Vat. 12 ap. Gaisf.

V. 10. παρὰ ῥόον w. παράρρουν c.

V. 12. δὲ pro δὴ Commelin. Brunck. — ἑκάστοις vulgo Reisk. Harles. ἑκάσταις w, Vat. 9, M, Junt. sic nos cum Brunck. Valck. Gaisf. Kiessl.

V. 13. πλήθουσι Vat. 9.

V. 14. πάντεσσι Brunck. — ἔασιν Kiessl.

---

9. ΣΧΟΛ. ΝΕΩΤ. ΝΕΜΟΝΤΑΙ, βόσκονται. ΕΠ' ΟΧΘΑΙΣ ΑΜΦ' ΕΛΙΣΟΥΝΤΟΣ, ἡ ἐπὶ καὶ ἡ ἀμφὶ ἐκ παραλλήλου. s. l. M.

10. ΣΧΟΛ. ΝΕΩΤ. ΘΕΙΟΙΟ, θείου. ΡΟΟΝ, ῥεῦμα. ΑΛΦΕΙΟΙΟ, Ἀλφειοῦ, s. l. M.

11. ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΥΠΡΑΣΙΟΥ, τόπου τινὸς πολλὰς ἔχοντος ἀμπέλους. ΩΔΕ, ἐνταῦθα, s. l. M.

12. ΣΧΟΛ. ΝΕΩΤ. ΣΗΚΟΙ, αἱ μάνδραι. ΣΦΙ, αὐτοῖς, ΤΕΤΥΓΜΕΝΟΙ, κατεσκευασμέναι. ΕΚΑΣΤΟΙΣ, βουσίν, s. l. M.

13. ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΥΚΟΛΙΟΙΣΙ, ταῖς τῶν βοῶν ἀγέλαις πᾶσαι. ΠΕΡΙΠΛΗΘΟΥΣΙ, πολὺ πλῆθος οὖσι. ΕΜΠΗΣ, ὅμως, s. l. M.

14. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΝΤΕΣΣΙΝ, πᾶσι. ΝΟΜΟΙ, τόποι βοσκῆς. ΩΔΕ, ἐνταῦθα. ΤΕΘΗΛΟΤΕΣ, θάλλοντες. ΑΙΕΝ, ἀεί. ΕΑΣΙΝ, εἰσίν. s. l. M.

Digitized by Google

Πηνειοῦ ἁμ μέγα τῖφος· ἐπεὶ μελιηδέα ποίην 15
Λειμῶνες θαλέθουσιν ὑπόφροσοι εἰαμεναί τε
Εἰς ἅλις, ἢ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
Αὔλις δέ σφισιν ἥδε τεῆς ἐπιδέξια χειρὸς
Φαίνεται εὖ μάλα πᾶσα πέρην ποταμοῖο ῥέοντος,

V. 15. Πηνειοῦ Vat. 9, M, Brunck. πηνείου c, w. — ἀμμέγα D, Call. Reisk. et recent. edd. ἀν μέγα M, vett. nonnullæ edd. Steph. ἁμ μέγα Junt. Kiessl. — πολυειδέα Vat. 9. μηλίη δὲ Call. vett. duæ aliæ edd. μελιηδέα ποίαν w.

V. 16. θαλέθουσιν sic cum w, Vat. 9, M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. τε φέρουσιν quod D, Reisk. Harles. — ὑπὸ δρόσῳ Vat. 9, Brunck. ὑπὸ δρόσον c, w, M. — εἰμενεται, α supra ει, sic Vat. 9 ap. Sanctam.

V. 17. κερααῖσιν Kiessl. — ἀέξειν w.

V. 18. δέ σφιν D. — ἐπιδέξια sic cum Steph. Reisk. Valck. Gaisf. ἐπὶ δεξιὰ Vat. 9, D. M, Call. vett. edd. ante Steph. Brunck. Harles. Kiessl.

---

15. ΣΧΟΛ. ΝΕΩΤ. ΠΗΝΕΙΟΥ, ποταμοῦ, ΤΙΦΟΣ, τὸν κάθυγρον τόπον. ΜΕΛΙΗΔΕΑ, γλυκεῖαν. ΠΟΙΑΝ, βοτάνην, s. l. M.

16. ΣΧΟΛ. ΝΕΩΤ. ΛΕΙΜΩΝΕΣ, ἤγουν τὰ κοινῶς λιβάδια. ΘΑΛΕΘΟΥΣΙ, θαλλουσαι. ΕΙΑΜΕΝΑΙ, ὑδατώδεις τόποι, s. l. M.

17. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣ ΑΛΙΣ, εἰς ἀπάρκειαν, ἤγουν αὐτάρκως. ΒΟΕΣΣΙ, τοῖς βουσί. ΜΕΝΟΣ, ἰσχύν, προθυμίαν. ΚΕΡΑΗΣΙΝ, κεραφόροις. ΑΕΞΕΙ, αὔξει, ἐμβάλλει, s. l. M.

18. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΛΙΣ, ὁ τόπος ἐν ᾧ αὐλίζονται. ΣΦΙΣΙΝ, αὐταῖς. ΤΕΗΣ, τῆς σῆς, s. l. M.

19. ΣΧΟΛ. ΝΕΩΤ. ΦΑΙΝΕΤΑΙ, ἤγουν ἐστί. ΕΥ ΜΑΛΑ, καλῶς λίαν. ΠΕΡΗΝ, πέραν. ΠΟΤΑΜΟΙΟ, τοῦ Πηνειοῦ. s. l. M.

Digitized by Google

Κείνη ὅθι πλατάνιστοι ἐπηετάναι πεφύασι, 20
Χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
Ἱερὸν ἄγνον, ξεῖνε, τελειοτάτοιο θεοῖο.
Εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις
Δέδμηνθ', οἳ βασιλῆϊ πολὺν καὶ ἀθέσφατον ὄλβον
Ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν 25

V. 20. ἐποιεταναὶ Call. vett. edd. ἐπηετάναι Brubach. Steph. — πεφύασι w. πεφύκασι Call. πεφύασιν Kiessl.

V. 21. χλωρήδ' w, M.

V. 22. ἱερὸν ἔρνος Brunck.

V. 23. εὐθύς τε e, w, M. — ἀγροιώταις D, Brubach. Steph. unde cet. ἀγριώταις Call. vett. duæ al. edd.

V. 25. ἐνδυκέως w, Steph. ἐνδικέως Call. vett. edd.

---

20. ΣΧΟΛ. ΝΕΩΤ. ΚΕΙΝΗι, ἐν ἐκείνῃ τῇ γῇ, ἢ ἐκεῖ. ΟΘΙ, ὅπου. ΠΛΑΤΑΝΙΣΤΟΙ, πλάτανοι. ΕΠΗΕΤΑΝΑΙ, μακραί. ΠΕΦΥΑΣΙ, φύονται, εἰσίν, s. l. M.

21. ΣΧΟΛ. ΝΕΩΤ. ΧΛΩΡΗ, ἀειθαλής. ΑΓΡΙΕΛΑΙΟΣ, ἀγριελαία. ΝΟΜΙΟΙΟ, τοῦ ἐν νομοῖς τιμωμένου, s. l. M.

22. ΣΧΟΛ. ΝΕΩΤ. ΑΓΝΟΝ, καθαρόν. ΞΕΙΝΕ, ὦ ξένε. ΤΕΛΕΙΟΤΑΤΟΙΟ, τελειοτάτου, ἀνενδεοῦς. ΘΕΟΙΟ, θεοῦ, s. l. M.

23. ΣΧΟΛ. ΝΕΩΤ. ΣΤΑΘΜΟΙ, βουστάσια. ΠΕΡΙΜΗΚΕΕΣ, μακραί. ΑΓΡΙΩΤΑΙΣ, τοῖς ἐν ἀγροῖς οἰκοῦσιν ἡμῖν. s. l. M.

24. ΣΧΟΛ. ΝΕΩΤ. ΔΕΔΜΗΝΘ', ἐσκευασμέναι εἰσί. ΟΙ, ἡμεῖς. ΑΘΕΣΦΑΤΟΝ, ἐκ παραλλήλου. ΟΛΒΟΝ, πλοῦτον, s. l. M.

25. ΣΧΟΛ. ΝΕΩΤ. ΡΥΟΜΕΘ', φυλάσσομεν. ΕΝΔΥΚΕΩΣ, ἐπιμελῶς. ΤΡΙΠΟΛΟΙΣ, τοῖς κοινῶς τριβολισμένοις. ΕΝ ΝΕΙΟΙΣΙΝ, ταῖς ἠροτριασμέναις ἀρούραις. s. l. M.

Digitized by Google

Ἔσθ' ὅτε βάλλοντες, καὶ τετραπόλοισιν ὁμοίως.
Οὔρους μὴν ἔσασι φυτοσκάφοι, οἱ πολυεργοὶ
Ἐς ληνοὺς ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
Πᾶν γὰρ δὴ πεδίον τόδ' εὐφρονος Αὐγείαο,
Πυροφόροι τε γύαι, καὶ ἅλωαὶ δενδρήεσσαι, 30
Μέχρι πρὸς ἐσχατιὰς πολυπίδακος ἀκρωρείης·

V. 27. οὔρους M, Kiessl. — μήννισασι c (in marg. μμνίσουσι), w. μηνίσσασι D. νίσσουσι M. ἴσασιν Call. vett. edd. ἴσασι Brubach. Steph. — οἱ πολ. et corr. ἡ πολ. D.

V. 28. ληνούς δ' c, w, Vat. 9, D. M. — θέριος ὥρ. ἔλθοι Vat. 9.

V. 29. πεδίοις Vat. 9. — ἐπίφρονος c, w, Vat. 9, M. τόδε εὔφρονος Call. vett. edd. ante Steph.

V. 30. γαῖαι Vat. 9. γυιαι c.

V. 31. μέχρι δ' ἐπ' ἐσχατιᾶς Vat. 9. μέχρις ἐπ' ἐσχατιᾶς c, M, unde Brunck. qui ἐσχατιῆς. — ἀκρωρείας c, M.

---

26. Σχολ. νεωτ. Βαλλοντες, ῥίπτοντες. Τετραπολοισιν, τετραβολισμένοις, s. l. M.

27. Σχολ. νεωτ. Ουρους, τὰ ὁριθέσια, τοὺς περιορισμοὺς τῶν χωραφίων. Νισσουσι, ἀναστρέφονται, διέρχονται. Φυτοσκαφοι, οἱ κοινῶς δραγάται. Οἱ πολυεργοι, πολλὰ ἐργαζόμενοί εἰσι. s. l. M.

28. Σχολ. νεωτ. Εις ληνους, ἤγουν τὰς ἅλωνας. Δ' ἱκνευνται, ἀφικνοῦνται, ἔρχονται. Επην, ἡνίκα. Ωριον, ἔγκαιρον, s. l. M.

29. Σχολ. νεωτ. Επιφρονος, φρονίμου, Αυγειαο, Αὐγείου, s. l. M.

30. Σχολ. νεωτ. Πυροφοροι, σιτοφόροι. Γυιαι, ἄρουραι. Αλωαι, ἤγουν λειμῶνες. Δενδρησσαι, δενδροφόραι, s. l. M.

31. Σχολ. νεωτ. Επ' εσχατιας, ἤγουν ὑψηλῆς. Πο-

Digitized by Google

Ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
Ἥι δίκη οἰκήων, οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῖς.
Ἀλλὰ σύ πέρ μοι ἔνισπε (τό τοι καὶ κέρδιον αὐτῷ
Ἔσσεται) οὔτινος ὧδε κεχρημένος εἰλήλουθας. 35
Ἠέ τοι Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
Δίζεαι, οἵ οἱ ἔασιν, ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
Πάντα μάλ' ἐξείποιμ'· ἐπεὶ οὔ σέ γέ φημι κακῶν ἔξ

V. 33. οἷσι βίος w, Brunck.— ἀπ' ἀγροῦ c, w, M.
V. 34. τό μοι c, w, M, Vat. 9, Brunck.
V. 36. αὐγείαν ἠὲ δμώων c, w, M. ἠὲ δμ. Brunck.
V. 37. οἷοι w. δίζε' οἷ εἰσὶν Call. vett. edd. ante Steph.
V. 38. ἀτρεκέως εἴποιμι Vat. 9, c, M. — ἐπεί σέ γε οὐ φίλον κακόν δε c et M, in quo tantum κακόν.

ΑΥΠΙΔΑΚΟΣ, πολλὰς πηγὰς ἐχούσης. ΑΚΡΩΡΕΙΑΣ, τῆς ἄκρας τοῦ ὄρους, s. l. M.

32. ΣΧΟΛ. ΝΕΩΤ. Ἃς, ἐφ' ἧς. ΕΡΓΟΙΣΙ, ἐν ἔργοις. ΕΠΟΙΧΟΜΕΘΑ, πορευόμεθα. ΠΡΟΠΑΝ ΗΜΑΡ, πᾶσαν ἡμέραν, s. l. M.

33. ΣΧΟΛ. ΝΕΩΤ. Ἥι ΔΙΚΗ, καθὰ ἔστι δίκαιον ποιεῖν τοῖς δούλοις. ΟΙΚΗΩΝ, δούλων. ΟΙΣΙΝ, δούλοις. ΕΠΑΕΤ', πέλει, s. l. M.

34. ΣΧΟΛ. ΝΕΩΤ. ΕΝΙΣΠΕ, εἰπέ. ΚΕΡΔΙΟΝ, ἐπωφελερδές, s. l. M.

35. ΣΧΟΛ. ΝΕΩΤ. ΕΣΣΕΤΑΙ, ἔσται. ΚΕΚΡΗΜΕΝΟΣ, χρείαν ἔχων. ΕΙΛΗΛΟΥΘΑΣ, ἐλήλυθας, s. l. M.

36. ΣΧΟΛ. ΝΕΩΤ. ΔΜΩΩΝ, δούλων, s. l. M.

37. ΣΧΟΛ. ΝΕΩΤ. ΔΙΖΕΑΙ, ζητεῖς. ΟΙΟΙ (sic), οἵτινες αὐτῶν. ΣΑΦΑ, σαφῶς, s. l. M.

38. ΣΧΟΛ. ΝΕΩΤ. ΑΤΡΕΚΕΩΣ, ἀληθῶς, s. l. M.

Digitized by Google

Ἔμμεναι, οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν,
Οἷόν τοι μέγα εἶδος ἐπιπρέπει· ἦ ῥά νυ παῖδες 40
Ἀθανάτων τοιοίδε μετὰ θνητοῖσιν ἔασι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός·
Ναί, γέρον, Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Ἐπειῶν
Εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
Εἰ δ' ὁ μὲν ἁρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολῖται, 45

V. 40. τι pro τοι Vat. 9. — ἐπιτρέπει c, w, M.

V. 41. τοι οἷδε Junt. — θνατοῖσιν w. — ἔασιν w, Kiessl.

V. 43. Αὐγείαν w, M.

V. 45. μένει sic cum w, Vat. 9, c, Brunck. Valck. Gaisf. Kiessl. vulgo μένῃ Steph. Reisk. Harles. μένει Call. Junt. vett. edd. ante Steph. — περὶ pro παρὰ Vat. 9.

---

39. ΣΧΟΛ. ΝΕΩΤ. ΕΜΜΕΝΑΙ, εἶναι. ΕΟΙΚΟΤΑ, πρέποντα. ΦΥΜΕΝΑΙ, φῦναι, s. l. M.

40. ΣΧΟΛ. ΝΕΩΤ. ΟΙΟΝ, τοιοῦτον. Η ΡΑ, ὄντως, s. l. M.

41. ΣΧΟΛ. ΝΕΩΤ. ΑΘΑΝΑΤΩΝ, τῶν θεῶν. ΤΟΙΟΙΔΕ, τοιοῦτοι. ΜΕΤΑ ΘΝΗΤΟΙΣΙΝ, ἐν θνητοῖς. ΕΑΣΙ, εἰσί, s. l. M.

42. ΣΧΟΛ. ΝΕΩΤ. ΑΠΑΜΕΙΒΟΜΕΝΟΣ, ἀνταποκριθείς. ΑΛΚΙΜΟΣ, ἰσχυρός, s. l. M.

43. ΣΧΟΛ. ΝΕΩΤ. ΓΕΡΟΝ, ὦ. ΚΕΝ, ἄν. ΕΠΕΙΩΝ, τῶν Ἠλείων, s. l. M.

44. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣΙΔΕΕΙΝ, ἰδεῖν. ΧΡΕΙΩ, χρείαν, s. l. M.

45. ΣΧΟΛ. ΝΕΩΤ. ΚΑΤΑ ΑΣΤΥ, εἰς τὸ ἄστυ. ΠΑΡΑ ΟΙΣΙ, ἐν ἰδίοις, s. l. M.

Digitized by Google

Δήμου κηδόμενος, διά τε κρίνησι θέμιστας,
Δμώων δή τινα, πρέσβυ, σύ μοι φράσον ἡγεμονεῦσαι,
Ὅστις ἐπ' ἀγρῶν τῶνδε γεραίτερος αἰσυμνήτης,
Ὥι κε τὸ μέν κ' εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
Ἄλλου δ' ἄλλοχ ἔθηκε θεός γ' ἐπιδευέα φωτῶν. 50

V. 46. δήμου Vat. 9. — κρινόμενος διὰ δὲ κρίνουσι c, w, Vat. 9, M. κρίνησι vulgo Reisk. Harles. κρίνησι Brunck. Valck. Gaisf. Kiessl.

V. 47. πρέσβυ pro vulgatis τῶνδε c, w, Vat. 9, D, M, Brunck. Valck. Gaisf. Kiessl. τῶνδε vulgo Reisk. Harles. — ἡγεμόνευσας D. ἡγεμονεύσας Vat. 9, M, Junt.

V. 48. ἀγρῶ τῶν γεραρωτάτων Vat. 9, unde Brunck. ἀγρωτῶν γεραρώτερος. τῶν γεραρώτατος c, w, M. γεραίτερος αἰσυήτης D.

V. 49. τὸ μέν γ' c, M. κ' om. w, Vat. 9. — πυθοίμεν w.

V. 50. ἀλλ' οὐκ ἀλλ' w. κ' ἄλλον c, Vat. 9, M. ἄλλον δ' ἄλλα Call. vett. edd. ante Steph. ἄλλων δ' ἄλλα Brubach. — γ' om. Vat. 9, w, M, Junt. Brunck. — ἐπιδευάα M. ἐπιδυνέα Call. — δνητῶν pro φωτῶν D.

---

46. ΣΧΟΛ. ΝΕΩΤ. ΚΡΙΝΟΜΕΝΟΣ, κεχωρισμένος ὤν. ΚΡΙΝΟΥΣΙ, διακρίνουσι. ΘΕΜΙΣΤΑΣ, δίκας, s. l. M.

47. ΣΧΟΛ. ΝΕΩΤ. ΔΜΩΩΝ, δούλων. ΦΡΑΣΟΝ, εἰπέ. ΗΓΕΜΟΝΕΥΣΑΙ, ὁδηγῆσαι, s. l. M.

48. ΣΧΟΛ. ΝΕΩΤ. ΓΕΡΑΡΩΤΑΤΟΣ, ἐντιμότατος. ΑΙΣΥΜΝΗΤΗΣ, ἀγωνοθέτης, ἤγουν ἐπιστάτης τῶν ἔργων, s. l. M.

49. ΣΧΟΛ. ΝΕΩΤ. ΩΙ ΚΕ, ᾧτινι ἄν. ΦΑΜΕΝΟΙΟ, εἰπόντος. ΠΥΘΟΙΜΗΝ, ἐκμάθω, s. l. M.

50. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΙΔΕΥΕΑ, ἐπιδεᾶ, s. l. M.

Digitized by Google

Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο, δῖος ἀγρώτης,
Ἀθανάτων, ὦ ξεῖνε, φραδῇ τινὸς ἐνθάδ' ἱκάνεις·
Ὡς τοι πᾶν ὁ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
Ὧδε γὰρ Αὐγείης υἱὸς φίλος Ἠελίοιο,
Σφωϊτέρῳ σὺν παιδί, βίῃ Φυλῆος ἀγαυοῦ, 55
Χθιζός γ' εἰλήλουθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
Κτῆσιν ἐποψόμενος, ἣ οἱ νήριθμος ἐπ' ἀγρῶν·

V. 51. προςαῦτις M. πρὸς αὖτις c, w, Vat. 9. — ἀροτρεὺς Vat. 9, c, w, M, Brunck. Gaisf. Kiessl. pro vulgat. ἀγρώτης quod Reisk. Valck. Harles. ἀγρώστης D.

V. 52. ξεῖνα Junt. — φράδμων Vat. 9.

V. 53. ὅς τοι D. — ἐκτετελέσθαι M.

V. 55. βίην w. — φυλεος ἀγαυῶ c. φυλῆϊ ἀγαυῷ M.

V. 56. χθιζός ὁδ' c, w, Vat. 9, M. ὅγ' Brunck.

V. 57. ἀερῶν Vat. 9.

---

51. Σχολ. νεωτ. Προσαυτις, αὖθις. Διος, ἔνδοξος, s. l. M.

52. Σχολ. νεωτ. Φραδηι, βουλῇ. Ικανεις, ἦλθες, s. l. M.

53. Σχολ. νεωτ. Αιψα, ταχέως. Εκτετελεσθαι, τελεσθῆναι, s. l. M.

54. Σχολ. νεωτ. Ηελιοιο, ἡλίου, s. l. M.

55. Σχολ. νεωτ. Σφωϊτερωι, τῷ ἰδίῳ. Παιδι, ἀγαυῷ. Φυληος, τῇ τοῦ Φυλλέως, s. l. M.

56. Σχολ. νεωτ. Χθιζος, ἤγουν χθεσινός, κατὰ τὴν χθές. Ειληλουθεν, ἐλήλυθεν. Ημασι πολλοις, ἤγουν μετὰ πολλὰς ἡμέρας, s. l. M.

57. Σχολ. νεωτ. Εποψομενος, Θεασόμενος. Οι, αὐτῷ. Ανηριθμος, ἀναρίθμητος, s. l. M.

Digitized by Google

Ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ἦσιν
Αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
Ἀλλ' ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τοι ἡγεμονεύσω 60
Αὖλιν ἐς ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα.
Ὡς εἰπὼν ἡγεῖτο· νόῳ δ' ὅγε πολλὰ μενοίνα,
Δέρμα τε θηρὸς ὁρῶν, χειροπληθῆ τε κορύνην,

V. 58. βασιλεύειν c. βασιλεύειν ἐήδεται M. sic w, in quo βασιλεύεις.

V. 59. αὐτὸς c, Vat. 9, M.

V. 60. εἴομεν Junt.

V. 61. ἔφ' pro ἐς c, w, Vat. 9, M, Brunck. — ἁμετέρην M, w. — τέτμειεν Vat. 9.

V. 62. νέῳ δέ τοι πολλ' ἐμενοίνα w, Vat. 9. δέ τι πόλλ' ἐ. M. νόῳ δέ τις π. ἐ. c. ὅγε πάντα μενοίνα D. δέ γε πολλ' ἐμενοίνα Brunck.

V. 63. δέρμα δὲ χειρὸς ἑλὼν c, M. sic w et Vat. 9 omisso δὲ. — κορύναν c, w, M.

---

58. Σχολ. νεωτ. Εηδεται, ἥδεται. Ἡισιν, ἰδίαις, s. l. M.

59. Σχολ. νεωτ. Κηδομενοισι, τοῖς φροντιστεῖς. Εμμεναι, εἶναι, s. l. M.

60. Σχολ. νεωτ. Ιομεν, πορευσόμεθα. Μιν, αὐτόν. Ηγεμονευσω, ὁδηγήσω, s. l. M.

61. Σχολ. νεωτ. Αμετερην, ἡμετέρην. Κεν, ἂν. Τετμοιμεν, καταλάβοιμεν, s. l. M.

62. Σχολ. νεωτ. Ηγειτο, πρὸωδοποίει. Μενοινα, ἐπροθύμει, s. l. M.

63. Σχολ. νεωτ. Κορυναν, ῥάβδον, s. l. M.

Digitized by Google

Ὀππόθεν ὁ ξεῖνος· μέμαεν δέ μιν ἐξερέεσθαι·
Ἄψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα, 65
Μή τί οἱ οὐ κατὰ καιρὸν ἔπος ποτιμυθήσαατο
Σπερχομ'νῳ. χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
Τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
Ἀμφότερον, ὀδμῇ τε χροός, δούπῳ τε ποδοῖιν.
Θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος 70

V. 64. μέμονε δέ μιν αἰεὶ ἔρεσθαι Vat. 9, quod recepit Brunck. αἰεὶ in αἰὲν mutato. μέμοινε δ. μ. α. ἔ. w. τε μέρηνέ μιν αἰεὶ ἔ. c. μεμοινέ (η supr. οι) μιν α. ἔ. M.

V. 65. ὄκνος c, w, M, Brunck. — ἀνελάμβανε μυθήσασθαι Vat. 9. μυθήσασθαι c, w, M.

V. 66. προτιμυθήσαιτο D, Junt. — Versum om. w, Vat. 9, M. in c apud marginem legitur.

V. 67. σπερχομένου Vat. 9, c, w, D. M, Junt. — νόον om. Vat. 9.

V. 68. προσιόντες ἀπόπροθι Vat. 9. — αἶψα νόησαν D.

V. 69. ἀμφοτέρα Vat. 9. — τ' ὀδμῇ Call. vett. edd. ante Steph. excepta Junt. γ' ὀσμῇ M.

---

64. Σχολ. νεωτ. Ὀππόθεν, ἐστί. Μεμοινε (sic), ὥρμα. Μιν, αὐτόν. Ερεσθαι, ἐρωτῆσαι, s. l. M.

65. Σχολ. νεωτ. Αψ, εἰς τοὐπίσω. Ποτί, πρός, s. l. M.

67. Σχολ. νεωτ. Σπερχομενου, σπεύδοντος αὐτοῦ. Ιδμεναι, εἰδέναι, s. l. M.

68. Σχολ. νεωτ. Αποπροθεν, μακράν. Αιψ', ταχέως, s. l. M.

69. Σχολ. νεωτ. Χροος, τοῦ σώματος. Δουπωι, κτύπῳ. Ποδοιϊν, τῶν ποδῶν, s. l. M.

70. Σχολ. νεωτ. Θεσπεσιον, μέγαν. Υλαοντες, ὑλακτοῦντες, s. l. M.

Digitized by Google

Ἀμφιτρυωνιάδῃ Ἡρακλέϊ· τὸν δὲ γέροντα,
Ἀχρεῖον κλάζοντε, περίσσαινόν γ' ἑτέρωθεν.
Τοὺς μὲν ὅγε λάεσσιν, ἀπὸ χθονὸς ὅσσον ἀείρων,
Φευγέμεν ἂψ ὀπίσω δειδίσσετο· τρηχὺ δὲ φωνῇ
Ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ, 75
Χαίρων ἐν φρεσὶν ᾗσιν, ὅθ' οὕνεκεν αὖλιν ἔρυντο,
Αὐτοῦ γ' οὐ παρέοντος· ἔπος δ' ὅγε τοῖον ἔειπεν·
Ὦ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες

V. 72. ἄγριον ἀλαζόντε περίσαινόνθ' i. c, w, Vat. 9, M. κλάζοντες περίσσαινόν γ' i. Call. vett. edd. Steph. nisi quod κλάζοντες Brubach. Steph. κλάζον τε divisim Reisk. Brunck. edidit: τὸν δ' ἑτέρωθεν Ἀχρεῖον κλάζον τε, περίσσαινόν τε γέροντα.

V. 73. ὅσσον vulgo D, Junt. Call. Reisk. Harles. Kiessl. ᾗσσον w, Vat. 9, c, M, Valck. Brunck. Gaisf.

V. 74. πολλὰ δὲ φωνῇ c, w, Vat. 9, M.

V. 75. πᾶσαν c, w, Vat. 9. — ἐρητύσασθαι c.

V. 76. αἶν pro αὖλιν, c, w, Vat. 9, M, Brunck. — ἔρυντο Call. vett. duæ aliæ edd.

V. 77. πρὸ pro γ' οὐ c. ποῦ w, M.

V. 78. ἐποίησαν c.

---

72. Σχολ. νεωτ. Περισσαινον, σαίνοντες προσήρχοντο, s. l. M.

73. Σχολ. νεωτ. Λαεσσιν, λίθοις. Απο χθονος, ἀπὸ τῆς πλησίον αὐτῆς γῆς. Αειρων, ἤγουν λαμβάνων, s. l. M.

74. Σχολ. νεωτ. Αψ οπισω, ἐκ παραλλήλου. Δειδισσετο, ἐφόβει, s. l. M.

75. Σχολ. νεωτ. Ερητυσασκε, ἐκώλυον (sic. leg. ἐκώλυεν) αὐτήν. Υλαγμου, τοῦ ὑλαγμοῦ. s. l. M.

76. Σχολ. νεωτ. Ηισιν, ἰδίαις, s. l. M.

77. Σχολ. νεωτ. Εειπεν, εἶπεν, s. l. M.

78. Σχολ. νεωτ. Ω, φεῦ, s. l. M.

Digitized by Google

Θηρίον ἀνθρώποισι μετέμμεναι· ὡς ἐπιμηθές!
Εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν, 80
Ἥιδει δ', ᾧ τε χρὴ χαλεπαινέμεν, ᾧ τε καὶ οὐκί,
Οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
Νῦν δὲ λίην ζάκοτόν τι καὶ ἀῤῥηνὲς γένετ' αὔτως.
Ἦ ῥα· καὶ ἐσσυμένως ποτὶ ταῦλιον ἶξον ἰόντες.

V. 79. ἀνθρώποισιν ἔτ' ἔμμεναι c, w, Vat. 9, M. — ἐπιμηθεὺς c, w.

V. 80. εἴη pro εἰ οἱ c, M. — ἔνδοθ' ἔασιν c, w, Vat. 9, M. ἔνδοθ' ἔησαν Brunck.

V. 82. οὐδ' ἄν οἱ w, Vat. 9. οὐδ' ἄν γ' οἱ c, M. οἱ receperunt e conjectura Reiskii Brunck. Dahl. Kiessl. vulgat. τοι servarunt Valck. Gaisf. Reisk. Harles. — θηρῶντες c, w, M. — ἐδήρησαν c, M. ἐδήρισαν w. ἐδήρισε Brunck.

V. 83. κἂν ζακοτον τὶ c. οὐ ζ. τι w. λίαν ζ. τι M. ζ. τι Vat. 9. τι receperunt Valck. Gaisf. Kiessl. pro vulgat. τε quod Reisk. Harles.—γένετ' c, Kiessl.—sic cum Kiessl. vulgo αὔτως.

V. 84. τῶυλιον c. τὼυλίαν M. — ἶξον Vat. 9, Brunck. Gaisf. Valck. Kiessl. ἶξον c. pro vulgat. ἶζον, quod M, Reisk. Harles. quos secuti sumus. ἶξον et corr. ἶζον D. — ἰόντε M. — Post hunc versum novus titulus hic : ἐπιπώλησις, est in Call. et vett. aliis quibusdam edd. omissus in w, M, Steph.

---

79. ΣΧΟΛ. ΝΕΩΤ. ΜΕΤΕΜΜΕΝΑΙ, εἶναι, s. l. M.

80. ΣΧΟΛ. ΝΕΩΤ. Ὡι ΔΕ, οὕτω. ΝΟΗΜΟΝΕΣ, νοητικαί. ΕΝΔΟΘ', ἐντὸς τοῦ νοῦ αὐτῶν. ΕΑΣΙΝ, εἰσίν, s. l. M.

81. ΣΧΟΛ. ΝΕΩΤ. ΗΙΔΕΙ, ἐπίσταται. Ὡι ΤΕ, ᾧτινι. ΧΑΛΕΠΑΙΝΕΜΕΝ, χαλεπαίνειν, s. l. M.

82. ΣΧΟΛ. ΝΕΩΤ. Οἱ ΘΗΡΩΝΤΕΣ, οἱ θηρευτικοὶ κύνες. ΕΔΗΡΗΣΑΝ, ἐφιλονείκησαν, s. l. M.

83. ΣΧΟΛ. ΝΕΩΤ. ΖΑΚΟΤΟΝ, ὀργίλον, s. l. M.

84. ΣΧΟΛ. ΝΕΩΤ. Η ΡΑ, ἔφη. ΕΣΣΥΜΕΝΩΣ, ὁρμητικῶς. ΤΑΥΛΙΟΝ, τὸν αὐλόν. ΙΖΟΝ, ἐκάθισαν. ΙΟΝΤΕΣ, ἐλθόντες, s. l. M.

Digitized by Google

Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους, 85
Δείελον ἦμαρ ἄγων· τὰ δ' ἐπήλυθε πίονα μῆλα
Ἐκ βοτάνης ἀνιόντα μετ' αὔλιά τε σηκούς τε.
Αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ' ἄλλαις
Ἐρχόμεναι φαίνονθ', ὡςεὶ νέφη ὑδατόεντα,
Ὅσσα τ' ἐν οὐρανῷ εἰσιν ἐλαυνόμενα προτέρωσε 90
Ἠὲ νότοιο βίῃ, ἠὲ θρηκὸς βορέαο.

V. 85. ἄγαγεν pro ἔτραπεν c, M. ἤγαγεν w, Vat. 9. ἔτραφεν D.

V. 86. δίελον Call. vett. edd. ante Steph.

V. 90. ἄσσα c, Vat. 9, M, Junt. — τε οὐρανῷ Vat. 9. — ἐλαυνόμεθα προτέρωθεν c, M. προτέρωσσε Call. vett. quædam edd. — Asteriscum huic vers. præfigunt Call. vett. aliæ edd.

V. 91. θρηκὸς sine ι subscripto Reisk. Harles. Gaisf. θρηκὸς Valck. Kiessl.

---

85. ΣΧΟΛ. ΝΕΩΤ. ΠΟΤΙ, πρός. ΖΟΦΟΝ, τὴν ἑσπέραν, s. l. M.

86. ΣΧΟΛ. ΝΕΩΤ. ΔΕΙΕΛΟΝ ΗΜΑΡ ΑΓΩΝ, ἤγουν τὴν δείλην ἑσπέραν, τὴν ἡμέραν διαβιβάζων. ΕΠΗΛΥΘΕ, ἐπῆλθε, ΠΙΟΝΑ, εὐτραφῆ. ΜΗΛΑ, πρόβατα, s. l. M.

87. ΣΧΟΛ. ΝΕΩΤ. ΕΚ ΒΟΤΑΝΗΣ, ἤγουν τῆς βοσκῆς. ΑΝΙΟΝΤΑ, ἐπανερχόμενα. ΜΕΤ' ΑΥΛΙΑ, εἰς τὴν αὐλήν. ΣΗΚΟΥΣ, τὰς μάνδρας, s. l. M.

88. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΤΑΡ, δέ. ΜΑΛΑ, λίαν. ΜΥΡΙΑΙ, πολλαί, s. l. M.

89. ΣΧΟΛ. ΝΕΩΤ. ΦΑΙΝΟΝΘ', ἐφαίνοντο. ΩΣΕΙ, ὥςπερ. ΥΔΑΤΟΕΝΤΑ, ὕδωρ ἔχοντα, s. l. M.

90. ΣΧΟΛ. ΝΕΩΤ. ΟΣΣΑ, ἅτινα. ΕΙΣΙΝ, πορεύεται. ΠΡΟΤΕΡΩΣΕ, ἔμπροσθεν, s. l. M.

91. ΣΧΟΛ. ΝΕΩΤ. ΗΕ ΝΟΤΟΙΟ, ἢ νότου. ΗΕ ΘΡΗΚΟΣ, ἢ θρακικοῦ. ΒΟΡΕΑΟ, βορέου, s. l. M.

Digitized by Google

Τῶν μέν τ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίνετ' ἰόντων,
Οὐδ' ἄνυσις· τόσα γάρ τε μετὰ προτέροισι κυλίνδει
Ἰς ἀνέμου, τὰ δέ τ' ἄλλα κορύσσεται αὖθις ἐπ' ἄλλοις·
Τόσσ' αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι' ἥει. 95
Πᾶν δ' ἄρ' ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι,
Ἀηΐδος ἐρχομένης· στείνοντο δὲ πίονες ἀγροὶ
Μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν

V. 92. μέν γ' οὔτις c, M. τ' om. Vat. 9. — γίνετ' ἰόντων w, D. M, Junt. Brunck. Valck. e conjectura Reiskii Gaisf. Kiessl. γίγνετ' ἰόντων c. γίνεται ὄντων vulgo Reisk. Harles.

V. 93. προτέροισι c, Vat. 9, w, M, Valck. Gaisf. Kiessl. pro vulgat. πρώτοισι quod Reisk. Harles.

V. 94. ἐπ' ἄλλοις w. ἄλλας Call. vett. edd. ante Steph. cujus in marg. ἄλλα annotatum.

V. 95. βουκόλι' εἴη w. βουκόλι' ἥει Steph. unde Reisk. βουκόλι' ἥει. βουκόλος ἴκει Call. vett. edd.

V. 97. τεινοντο Vat. 9.

---

92. Σχολ. νεωτ. Των, τῶν νεφῶν. Εν ηερι, ἐν ἀέρι. Ιοντων, φερομένων, s. l. M.

93. Σχολ. νεωτ. Ανυσις, τέλος. Μετα, ἐν. Κυλινδει, ἤγουν κινεῖ, ἐπιφέρει, s. l. M.

94. Σχολ. νεωτ. Ις, δύναμις. Κορυσσεται, αὔξει, s. l. M.

95. Σχολ. νεωτ. Μετοπισθεν, ἤγουν μετὰ τὰ ποίμνια. Ηιει, ἐπῄει, ἤγουν ἐπῆλθε, s. l. M.

96. Σχολ. νεωτ. Ενεπλησθη, ἐπληρώθη. Κελευθοι, ὁδοί, s. l. M.

97. Σχολ. νεωτ. Αηΐδος, τῆς λείας. Στεινοντο, ἐστέναζον, ἤχουν, s. l. M.

98. Σχόλ. νεωτ. Μυκηθμωι, τῇ τῶν βοῶν βοῇ. Ση-

Digitized by Google

Εἰλιπόδων· ὅϊες δὲ κατ' αὐλὰς ηὐλίζοντο.
Ἔνθα μὲν οὔτις ἔκηλος, ἀπειρεσίων περ ἐόντων, 100
Εἱστήκει παρὰ βουσὶν ἀνήρ, κεχρημένος ἔργου·
Ἀλλ' ὁ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσι
Καλοπέδιλ' ἀράρισκε, παρασταδὸν ἐγγὺς ἀμέλγων·
Ἄλλος δ' αὖ φίλα τέκνα φίλαις ὑπὸ μητράσιν ἵει,

V. 100. ἀπηρεσίων παρεόντων w. ex Junt. Steph. vulgatam dedit. ἔκηλος ἀρνσίπερ ἐόντ. Call. cum asterisco versui præfixo. ἀνηρίθμων περ ἐόντων Brubach.

V. 101. περὶ Vat. 9. — ἔργω w.

V. 102. ἀδμήτοισιν c, M. — ἱμᾶσιν Kiessl.

V. 103. κωλοπέδιλ' w, Vat. 9, D, M. — ἀράρησκε Junt. Call. vett. edd. ante Steph. — περισταδὸν c, w, M. παριστασδὸν D, Junt. περὶ σταδὸν Vat. 12 ap. Gaisford. — ἀμέλγειν c, Vat. 9, M. ἀμέργων D, Junt. Steph. in marg.

V. 104. δὲ pro δ' αὖ Brunck. — νέα pro φίλα D. — φίλαις ὑ. μητράσιν sic cum Vat. 9, c, w, M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. φίλας ὑ. μητέρας quod Reisk. Harles.

κοι, μάνδραι. Ῥεια, εὐκόλως. Πλησθησαν, ἐπληρώθησαν, s. l. M.

99. Σχολ. νεωτ. Εἰλιποδων, τῶν ἑλισσόντων τοὺς πόδας ἐν τῷ πορεύεσθαι. Οἴες, τὰ πρόβατα. Ηυλιζοντο, ἀνεστρέφοντο, s. l. M.

100. Σχολ. νεωτ. Ενθα, ὅπου. Ἔκηλος, ἥσυχος. Απειρεσιων, πολλῶν ἀνθρώπων. Εοντων, ὄντων, s. l. M.

101. Σχολ. νεωτ. Κεχρημενος, εἰς χρείαν ὤν, ἢ χρείαν ἔχων, s. l. M.

102. Σχολ. νεωτ. Αδμητοισιν, ἀδαμάστοις, ἰσχυροῖς. Ἱμασιν, λώροις, s. l. M.

103. Σχολ. νεωτ. Καλοπεδιλα, τῶν ποδῶν ὑποδήματα. Αραρισκε, ἥρμοζε τοῖς ποσίν. Περισταδον, περιεστώς. Αμελγειν, ὥστε ἀμέλγειν. s. l. M.

104. Σχολ. νεωτ. Ἰει, ἀφίει, s. l. M.

Digitized by Google

Πινέμεναι λαροῖο μεμαότα πάγχυ γάλακτος. 105
Ἄλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν·
Ἄλλος ἐςῆγεν ἔσω ταύρως, δίχα θηλειάων.
Αὐγείης δ' ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους
Ἥντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες.

V. 105. πιέμεναι w, Brunck. — λιαροῖο πέπληντο δὲ π. vulgo D, Reisk. Harles. λαροῖο μεμαῶτα π. Vat. 9. λιαροῖο μεμαότα π. M. μεμαότα c, w, in quo λιπαροῖο. λαροῖο μεμαότα sic cum Brunck. Valck. Gaisf. Kiessl.

V. 106. τρέφε sic cum Valck. Reisk. Gaisf. Kiessl. στρέφε Vat. 9, w, Brunck. Harles. στέφε c, M. — τυρὸν w, Junt. quod revocavit Steph. γέρον Call. vett. duæ aliæ edd. γάρρον Brubach.

V. 107. εἴσω Vat. 9. — ταύρως c, w, M, Vat. 12 ap. Gaisford.

V. 108. αὐγείης, α suprascr. τῷ η, M. — θηῆτο c, w, M. — βοαύλας Junt.

---

105. ΣΧΟΛ. ΝΕΩΤ. ΠΙΝΕΜΕΝΑΙ, πίνειν. ΛΙΑΡΟΙΟ χλιαροῦ. ΜΕΜΑΟΤΑ, προθυμούμενα. ΠΑΓΧΥ, λίαν, s. l. M.

106. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΟΛΓΙΟΝ, ἤγουν κισσύβιον. ΣΤΕΦΕ, ἐν στεφάνῳ ἐτίθει, τῷ κοινῶς τυροβολίῳ, s. l. M.

107. ΣΧΟΛ. ΝΕΩΤ. ΕΣΩ, τῆς αὐλῆς. ΤΑΥΡΩΣ, ταύρους. ΔΙΧΑ ΘΗΛΕΙΑΩΝ, χωρὶς τῶν θηλειῶν, s. l. M.

108. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΓΕΙΗΣ, Αὐγείας. ΙΩΝ, ἐλθών. ΘΗΗΤΟ, ἐθεᾶτο. ΒΟΑΥΛΟΥΣ, τοὺς ἐν τοῖς βουσὶν αὐλιζομένους, s. l. M.

109. ΣΧΟΛ. ΝΕΩΤ. Οἱ, αὐτῷ. ΚΤΕΑΝΩΝ, κτημάτων. ΚΟΜΙΔΗΝ, ἐπιμέλειαν. ΕΤΙΘΕΝΤΟ, ἐποίουν. ΝΟΜΗΕΣ, ποιμένες, s. l. M.

Digitized by Google

Σὺν δ' υἱός τε, βίη τε πολύφρονος Ἡρακλῆος, 110
Ὠμάρτευν βασιλῆϊ διερχομένῳ μέγαν ὄλβον.
Ἔνθα καὶ ἄῤῥηκτόν περ ἔχων ἐν στήθεσι θυμὸν
Ἀμφιτρυωνιάδης, καὶ ἀρηρότα νωλεμὲς αἰεί,
Ἐκπάγλως θαύμαζε βοῶν τόγε μυρίον ἔθνος
Εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις, οὐδὲ ἐώλπει 115

V. 110. σὺν κάρτος τε βίην τε Vat. 9. — βαρύφρονος w, Vat. 9, M, Brunck. Valck. Gaisf. pro vulgat. πολύφρονος quod Reisk. Harles. Kiessl. quos secuti sumus.

V. 111. ἀμάρτευ w.

V. 112. ἄγων pro ἔχων Vat. 9.

V. 113. Ἀμφιτρυονίδας w. — καίπερ Call. vett. duæ al. edd.

V. 114. θεῶν τότε μύριον c, w, Vat. 9, M. τότε μ. D. θαύμαζεν ὁμῶς τό τε μ. Junt. θεῶν τόδε μ. Brunck. — ἔργον pro ἔθνος Vat. 9, Brunck. ἔδνον c, M. ἔθνος Junt. unde cet.

V. 115. οὔ γάρ κεν w. μὲν pro κεν Call. vett. edd. ante Steph.

---

110. ΣΧΟΛ. ΝΕΩΤ. ΣΥΝ, σὺν αὐτῷ. ΥΙΟΣ, ὁ Φυλλεύς. ΒΙΑ, ἡ βία. ΒΑΡΥΦΡΟΝΟΣ, μεγαλόφρονος. ΗΡΑΚΛΗΟΣ, ἤγουν ὁ Ἡρακλῆς περιφραστικῶς, s. l. M.

111. ΣΧΟΛ. ΝΕΩΤ. ΩΜΑΡΤΕΥΝ, ἠκολούθουν. ΟΛΒΟΝ, πλοῦτον, s. l. M.

112. ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΡΗΚΤΟΝ, ἰσχυρόν, s. l. M.

113. ΣΧΟΛ. ΝΕΩΤ. ΑΜΦΙΤΡΥΩΝΙΑΔΗΣ, ὁ Ἡρακλῆς. ΑΡΗΡΟΤΑ, ἡρμοσμένον. ΝΩΛΕΜΕΣ, διηνεκῶς, s. l. M.

114. ΣΧΟΛ. ΝΕΩΤ. ΕΚΠΑΓΛΩΣ, ἐκπληκτικῶς. ΜΥΡΙΟΝ, πολύ. ΜΥΡΙΟΝ ΕΔΝΟΝ, ἤγουν τὴν χάριν, s. l. M.

115. ΣΧΟΛ. ΝΕΩΤ. ΕΙΣΟΡΟΩΝ, ὁρῶν. ΚΕΝ, ἄν. ΕΦΑΣΚΕΝ, ἔλεγεν. ΕΩΛΠΕΙ, ἤλπισεν, s. l. M.

Digitized by Google

Ἀνδρὸς ληΐδ' ἑνὸς τόσσην ἔμεν, οὐδὲ δέκ' ἄλλων,
Οἷγε πολύῤῥηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ἡέλιος δ' ᾧ παιδὶ τάδ' ἔξοχον ὤπασε δῶρον,
Ἀφνειὸν μήλοις πέρι πάντων ἔμμεναι ἀνδρῶν.
Καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα 120
Ἐς τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνου.

V. 116. τόσσ' ἔμμεν' οὐδ. w. ἔμμεναι c, Vat. 9. ἔμμεν' M.

V. 117. οἵτε π. c, w, Vat. 9, M.

V. 118. ἠέλιος δ' ᾧ w. ἀέλιος δ' ἀῷ Call. vett. duæ al. edd. ἀέλιος δ' ᾧ Brubach. Steph. — τόγ' c, w, Vat. 9, D. M, Junt. Call. vett. al. edd. ante Steph.

V. 119. παρὰ π. c, w, M.

V. 120. ὄφηλε Vat. 12 ap. Gaisf. — διάμπαρέως c, M.

V. 121. εἰς τέλος w. — ἐκείνοις vulgo D, Reisk. Harles. ἐκείνου sic cum c, w, Vat. 9, M, Brunck. Valck. Gaisf. Kiessl.

---

116. Σχολ. νεωτ. Ληΐδ', λείαν ἤγουν πλοῦτον. Εμμεν', εἶναι, s. l. M.

117. Σχολ. νεωτ. Πολυῤῥηνες, ἤγουν πολυθρέμμονες· ἀπὸ μέρους. ῥὴν γὰρ τὸ πρόβατον. Εσαν, ἦσαν, s. l. M.

118. Σχολ. νεωτ. Ηελιος, ὁ ἥλιος. Δ' ᾧι, τῷ ἰδίῳ. Παιδι, τῷ Αὐγείᾳ. Εξοχον, ἐξαίρετον. Ωπασεν, ἔδωκε, s. l. M.

119. Σχολ. νεωτ. Αφνειον, πλούσιον. Μηλοις, προβάτοις. Εμμεναι, εἶναι, s. l. M.

120. Σχολ. νεωτ. Ῥα, δή. Οἱ, αὐτῷ. Οφελλε, ηὔξανεν, ἐπλήθυνεν. Διαμπερεως, διόλου. Βοτα, θρέμματα, s. l. M.

121. Σχολ. νεωτ. Εις τελος, τελείως καὶ οὐ μεριμνῶς. Επηλυθεν, ἐπῆλθεν. Νουσος, νόσος, s. l. M.

Digitized by Google

Βουκολίοις, αἵ τ' ἔργα καταφθίνουσι νομήων.
Αἰεὶ δὲ πλέονες κερααὶ βόες, αἰὲν ἀμείνους
Ἐξ ἔτεος γείνοντο μάλ' εἰς ἔτος· ἦ γὰρ ἅπασαι
Ζωοτόκοι τ' ἦσαν περιώσια, θηλυτόκοι τε. 125
Ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο,
Κνήμαργοί θ' ἑλικές τε· διηκόσιοί γε μὲν ἄλλοι

V. 122. ἄγ' w. ἄγ' M. οἵ τ' Junt. αἷς ἔργα Brunck. — καταφθίνουσι c, w, Vat. 9, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. καταφθείρουσι quod D, Reisk. Harles. — νομήων w, Junt. unde Steph. et cet. νομῆες Gall. vett. edd. ante Steph.

V. 123. αἰὲν sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. αἰεὶ quod D. M, Reisk. Harles. αἰείδ' Vat. 9.

V. 124. γίνοντο c, w, M.

V. 126. τριηκόσιοι, α suprascripto τῷ η, M. — σὺν ἅμα στειχόωντο Vat. 9.

V. 127. διηκόσιοι, α suprascripto τῷ η, M. γέ μεν c, w, Vat. 9, M. unde γε μὲν Valck. Gaisf. Kiessl. pro vulgat. τε μὲν quod Reisk. Harles. τέ μεν D. τε μέταλλοι conjecit Reisk.

---

122. ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΥΚΟΛΙΟΙΣ, ἤγουν θρέμμασι. ΑΙΓ, ἤ τινι (sic). ΚΑΤΑΦΘΙΝΟΥΣΙ, φθείρονται. ΝΟΜΗΩΝ, τῶν βοσκόντων ἀνθρώπων, s. l. M.

123. ΣΧΟΛ. ΝΕΩΤ. ΠΛΕΟΝΕΣ, πλείονες. ΚΕΡΑΟΙ, κερασφόροι. ΑΜΕΙΝΟΥΣ, κρείττους, s. l. M.

124. ΣΧΟΛ. ΝΕΩΤ. ΕΞ ΕΤΕΟΣ, ἐξ ἔτους. ΓΙΝΟΝΤΟ, ἐγίνοντο. Η, ὄντως, s. l. M.

125. ΣΧΟΛ. ΝΕΩΤ. ΖΩΟΤΟΚΟΙ, ζῶντα γεννῶσαι. ΠΕΡΙΩΣΙΑ, μεγάλως, λίαν. ΘΗΛΥΤΟΚΟΙ, θήλεα τίκτουσαι, s. l. M.

126. ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΗΚΟΣΙΟΙ, τριακόσιοι. ΕΣΤΙΧΟΩΝΤΟ, συνεπορεύοντο, s. l. M.

127. ΣΧΟΛ. ΝΕΩΤ. ΚΝΗΜΑΡΓΟΙ, λευκόποδες. ΕΛΙΚΕΣ, ἑλίσσοντες τοὺς πόδας. ΔΙΗΚΟΣΙΟΙ, διακόσιοι, s. l. M.

Digitized by Google

Φοίνικες· πάντες δ' ἐπιβήτορες οἴγ' ἔσαν ἤδη.
Ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο
Ἱεροὶ Ἡελίου· χρειὴν δ' ἔσαν ἠΰτε κύκνοι, 130
Ἀργησταί, πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν·
Οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
Ἐν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
Καί ῥ' ὁπότ' ἐκ λασίοιο θοαὶ προγενοίατο θῆρες

V. 130. ἠελίοιο c, w, Vat. 12, ap. Gaisf. D. M, Brunck. — χρειὴν Vat. 12 ap. Gaisf. χριὴν c, M.

V. 131. πᾶσι δὲ Brunck.

V. 133. ἔκπαγλον w. ἔκπλαγον Call. vett. duæ al. edd. ἔκπαγλον Brubach. Steph. — γυριόωντες Vat. 9. γαυριόωντο w. γυριόωντο c, M. γυριόωντες. γαυριόωντο Kiessl.

---

128. ΣΧΟΛ. ΝΕΩΤ. ΦΟΙΝΙΚΕΣ, κόκκινοι. ΕΠΙΒΗΤΟΡΕΣ, ἐπιβαίνοντες ταῖς βουσί. Οἴ, οὗτοι. ΕΣΑΝ, ἦσαν, s. l. M.

129. ΣΧΟΛ. ΝΕΩΤ. ΜΕΤΑ ΤΟΙΣΙ, σὺν τούτοις. ΔΥΩΔΕΚΑ, δώδεκα. ΒΟΥΚΟΛΕΟΝΤΟ, ἐβόσκοντο, s. l. M.

130. ΣΧΟΛ. ΝΕΩΤ. ΗΕΛΙΟΙΟ, τοῦ ἡλίου. ΕΣΑΝ, ἦσαν. ΗΥΤΕ, ὥςπερ, s. l. M.

131. ΣΧΟΛ. ΝΕΩΤ. ΑΡΓΗΣΤΑΙ, ἤγουν λευκοί. ΠΑΣΙΝ, ἐν πᾶσι. ΜΕΤΕΠΡΕΠΟΝ, ἤγουν ἐμπρέποντες ἦσαν. ΕΙΛΙΠΟΔΕΣΣΙΝ, ἤγουν τοῖς βουσί, s. l. M.

132. ΣΧΟΛ. ΝΕΩΤ. ΑΤΙΜΑΓΕΛΑΙ, μὴ συναγελαζόμεναι. ΒΟΣΚΟΝΤ', ἐτρέφοντο. ΕΡΙΘΗΛΕΑ, ἄγαν θάλλουσαν. ΠΟΙΗΝ, βοτάνην, s. l. M.

133. ΣΧΟΛ. ΝΕΩΤ. ΕΝ ΝΟΜΩι, τόπῳ βοσκῆς. Ὧι Δ', οὕτως. ΕΚΠΑΓΛΟΝ, ἐκπληκτικόν. ΣΦΙΣΙ, αὐτοῖς. ΓΥΡΙΟΩΝΤΟ, ἐκύκλουν, s. l. M.

134. ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΣΙΟΙΟ, δασέος δρυμοῦ. ΘΟΟΙ, ταχεῖς. ΠΡΟΓΕΝΟΙΑΤΟ, προῆλθον, s. l. M.

Digitized by Google

Ἐς πεδίον δρυμοῖο, βοῶν ἕνεκ' ἀγροτεράων, 135
Πρῶτοι τοί γε μάχηνδε κατὰ χροὸς ἧεσαν ὀσμήν·
Δεινὸν δ' ἐβρυχῶντο, φόνον λεύσσοντε προςώπῳ.
Τῶν μέν τε προφέρεσκε βίηφί τε, καὶ σθένεϊ ᾧ,
Ἠδ' ὑπεροπλίῃ, Φαέθων μέγας· ὃν ῥα βοτῆρες
Ἀστέρι πάντες ἔϊσκον, ὅθ' οὕνεκα πολλὸν ἐν ἄλλοις 140

V. 135. ἕνεκα προτεράων Vat. 9, w, M.

V. 136. δε τοὶ pro τοίγε Vat. 9. — μάχαν c. μάχανδε M. — ἧκεσαν c. — ὀσμὴν w, Vat. 9, M. ὀρμὴν vett. edd. ὀδμὴν Reisk. ex ingenio.

V. 137. δ' ἐβρύχοντο Vat. 9, c, M. δὲ βρυχῶντο D, Reisk. Harles. δ' ἐβρυχῶντο Brunck. Valck. Gaisf. Kiessl. — λεύσοντε w, M. λεύσονται Vat. 9. λεύσοντι Brunck.

V. 138. τῷ μέν τε D. — κάρτεϊ c.

V. 139. ὑπεροπλίῃ w. ὑπεροπλίης Call. vett. duæ edd. ὑπεροπλίῃς Brubach. — ἧ θ' ὑπ. Brunck.

V. 140. ἔϊσκον w. ἔϋσκον Call. vett. duæ al. edd.

---

135. ΣΧΟΛ. ΝΕΩΤ. ΔΡΥΜΟΙΟ, δρυμοῦ. ΠΡΟΤΕΡΑΩΝ, τῶν προερχομένων, ἤτοι τῶν ἔμπροσθεν πορευομένων, s. l. M.

136. ΣΧΟΛ. ΝΕΩΤ. ΤΟΙ ΓΕ, οὗτοι. ΧΡΟΟΣ, σώματος. ΗΙΕΣΑΝ, ἔπεμπον, s. l. M.

137. ΣΧΟΛ. ΝΕΩΤ. ΕΒΡΥΧΩΝΤΟ, ἐβόων. ΛΕΥΣΣΟΝ, ἔβλεπον. ΤΕ, καί, s. l. M.

138. ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΟΦΕΡΕΣΚΕ, προεῖχε. ΒΙΗΦΙ, ἰσχύϊ. ΒΙΗΦΙ ΤΕ ΚΑΙ ΣΘΕΝΕΪ, ἐκ παραλλήλου. δυνάμει ἰδίᾳ, s. l. M.

139. ΣΧΟΛ. ΝΕΩΤ. ΗΔ' ΥΠΕΡΟΠΛΙΗι, καὶ ἐπάρσει. ΦΑΕΘΩΝ, ἤγουν λευκός, s. l. M.

140. ΣΧΟΛ. ΝΕΩΤ. ΑΣΤΕΡΙ ΠΑΝΤΕΣ ΕΪΣΚΟΝ, ὅμοιον ἡγοῦντο. ΠΟΛΛΟΝ, καταπολύ, s. l. M.

Digitized by Google

Βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
Ὃς δή τοι σκύτος αὖον ἰδὼν χαροποῖο λέοντος,
Αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐυσκόπῳ Ἡρακλῆϊ,
Χρίμψασθαι ποτὶ πλευρὰ κάρη, στιβαρόν τε μέτωπον.
Τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ 145
Σκαιοῦ ἄφαρ κέρας· κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
Κλάσσε, βαρύν περ ἐόντα· πάλιν δέ μιν ὦσεν ὀπίσσω,

V. 142. σκύλος w, c, pro var. l. Junt. et D, in quo suprascr. δέρμα. quam lectionem receperunt Brunck. Gaisf. Kiessl.

V. 144. κάρη, α suprascripto τῷ η, M. — πρόζωπον Vat. 9.

V. 146. κέρατος Vat. 9.

---

141. ΣΧΟΛ. ΝΕΩΤ. ΒΟΥΣΙΝ, σὺν βουσίν. ΛΑΜΠΕΣΚΕΝ, ἔλαμπεν. ΑΡΙΖΗΛΟΣ, ἐπαινετός. ΕΤΕΤΥΚΤΟ, κατεσκεύαστο, s. l. M.

142. ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΥΤΟΣ, δέρμα. ΑΥΟΝ, ξηρόν. ΧΑΡΟΠΟΙΟ, χαροποῦ, s. l. M.

143. ΣΧΟΛ. ΝΕΩΤ. ΕΠΟΡΟΥΣΕΝ, ἐφώρμησεν. ΕΥΣΚΟΠΩι ΗΡΑΚΛΗΪ, τῷ καλῶς βάλλοντι ὡς τοξικῷ κατὰ σκοπόν. s. l. M.

144. ΣΧΟΛ. ΝΕΩΤ. ΧΡΙΜΨΑΣΘΑΙ, πλησιάσαι. ΠΟΤΙ, πρός. ΣΤΙΒΑΡΟΝ, ἰσχυρόν, s. l. M.

145. ΣΧΟΛ. ΝΕΩΤ. ΠΡΟΣΙΟΝΤΟΣ, προσελθόντος. ΠΑΧΕΙΗι, ἤγουν ἰσχυρᾷ, s. l. M.

146. ΣΧΟΛ. ΝΕΩΤ. ΣΚΑΙΟΥ, ἀριστεροῦ. ΑΦΑΡ, εὐθέως. ΚΑΤΑ Δ' ΑΥΧΕΝΑ, τὸν τράχηλον αὐτῶν εἰς τοὐπίσω, s. l. M.

147. ΣΧΟΛ. ΝΕΩΤ. ΚΛΑΣΣΕ, κατέβαλλε (sic) συνθλάσας. ΒΑΡΥΝ, ἰσχυρόν. ΜΙΝ, αὐτόν. ΩΣΕΝ, ἀντέστρεψεν, s. l. M.

Digitized by Google

Ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ ἐπὶ νεῦρα τανυσθεὶς
Μυῶν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
Θαύμαζεν δ' αὐτός τε ἄναξ, υἱός τε δαΐφρων 150
Φυλεύς, οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἄνδρες,
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.
Τὼ δ' εἰς ἄστυ, λιπόντε κατ' αὐτόθι πίονας ἀγρούς,
Ἐστιχέτην, Φυλεύς τε, βίη θ' ἡρακληείη.

V. 148. περὶ νεῦρα c, w, Vat. 9, D. M, Gaisf.
V. 149. μυώνων c. — ἀνέςα c, M.
V. 150. θαύμαζον c, M, Call. — υἱά τε Junt.
V. 151. φυλεύν Junt. — βουκόλοι ἄνδρες ἦσαν w. β. ἄνδρες Vat. 9, M, Brunck. Gaisf. Kiessl. pro vulgat. ἦσαν quod Reisk. Harles.
V. 153. τώ δ' ἄστυ Vat. 9.
V. 154. φυλεύν Junt. — βίη ρ' Ἡρ. w.

---

148. ΣΧΟΛ. ΝΕΩΤ. ΤΡΙΚΛΙΝΙΟΥ. ΩΜΩι ΕΠΙΒΡΙΣΑΣ. Τὰς μὲν χεῖρας, φησίν, εἶχεν ἐρηρεισμένας ἐπὶ τῶν ὤμων αὐτοῦ, πιέζων αὐτόν· τὸ δὲ λοιπὸν σῶμα αὐτοῦ ὀρθὸν ἵστατο, ἤγουν οὐ τελείως ὀρθόν, ἀλλὰ συγκεκυφός. M. ΕΠΙΒΡΙΣΑΣ, ἐπιπεσών. Οἱ, αὐτῷ. ΤΑΝΥΣΘΕΙΣ, ἐκταθείς, s. l. M.

149. ΣΧΟΛ. ΝΕΩΤ. ΜΥΩΝ, τῶν κοινῶς ποντικῶν τῶν ἐν τῷ βραχίονι. ΕΞ ΥΠΑΤΟΙΟ, ἤγουν τοῦ τέλους. ΑΝΕΣΤΑ, ἀνέςη, s. l. M.

150. ΣΧΟΛ. ΝΕΩΤ. ΑΝΑΞ, ὁ Αὐγείας. ΔΑΪΦΡΩΝ, ὁ φρονιμώτατος, s. l. M.

151. ΣΧΟΛ. ΝΕΩΤ. ΚΟΡΩΝΙΣΙ, μελαίνοις, s. l. M.

152. ΣΧΟΛ. ΝΕΩΤ. ΥΠΕΡΟΠΛΟΝ, λῖαν ἰσχυρὸν, ἤγουν ὑπερήφανον, s. l. M.

153. ΣΧΟΛ. ΝΕΩΤ. ΛΙΠΟΝΤΕ, καταλιπόντες, s. l. M.

154. ΣΧΟΛ. ΝΕΩΤ. ΕΣΤΙΧΕΤΗΝ, ἐπορεύοντο. ΗΡΑΚΛΗΕΙΗ, ἡ τοῦ Ἡρακλέους, s. l. M.

Digitized by Google

Λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου, 155
Λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
Ἦ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμῶν τετάνυστο,
Οὔ τι λίην ἀρίσαμος ἐν ὕλῃ χλωρᾷ ἐοῦσα·
τῇ μὲν ἄρα προσέειπε Διὸς γονὸν ὑψίστοιο.

V. 155. ἀπέβησαν Brunck. — ὅτε Brunck. Valck. ex correctione Wartoni pro vulgato ὅθι, quod nos cum Vat. 9, D, Reisk. Harles. Gaisf. Kiessl. ὅρους pro ὅθι c, w, M.

V. 156. στίβον c. τρίφον D. — ἐξανύοντο Junt.

V. 157. ἀμπελλῶνος M. — σταθμῶν sic cum c, w, Vat. 9, D. M, Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. σαθμοῦ quod Reisk. Harles.

V. 158. λίην, α suprascr. τῷ η, M. — ἀρίσαμος sic cum Steph. Reisk. Harles. ἀρίσημος Codd. Call. vett. edd. ante Steph. Valck. Gaisf. Kiessl. — χλωρὰ ἐούση Vat. 9. χλωρᾷ ἐούσῃ D.

V. 159. τοί μιν w, Vat. 9. τὸν μὶν c, M.

---

155. Σχολ. νεωτ. Λαοφόρου, τῆς λεωφόρου τῆς πλατείας. Ορους, τοῦ ὄρους. Κελευθου, ὁδοῦ, s. l. M.

156. Σχολ. νεωτ. Λεπτην, ἤτοι τὴν ἀτραπόν. Καρπαλιμοισι, ταχέσιν. Τριβον, ὁδόν. Εξανυσαντες, διελθόντες, s. l. M.

157. Σχολ. νεωτ. Ἡ ῥα, ἤ τις. Αμπελωνος, ἤγουν πρὸς τὸν ἀμπελῶνα. Απο σταθμων, τῶν βουστασίων. Τετανυστο, ἐξετείνετο, s. l. M.

158. Σχολ. νεωτ. Αρισημος, φανερά. Εν ὑλη, ὑπὸ ὕλης καὶ δάσους. Εουσα, οὖσα, s. l. M.

159. Σχολ. νεωτ. Μιν, αὐτόν. Ὑψιστοιο, ὑψίζου, s. l. M.

Digitized by Google

Αὐγείεω φίλος υἱός, ἔθεν μετόπισθεν ἰόντα, 160
Ἧκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας,
Ὠςεί περ σφετέρησιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι·
Ἦλυθε γὰρ στείχων τις ἀπ' Ἄργεος, ὡς νέος ἀκμήν,
Ἐνθάδ' ἀχαιὸς ἀνήρ, Ἑλίκης ἐξ ἀγχιάλοιο, 165
Ὃς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
Οὕνεκεν Ἀργείων τις, ἔθεν παρεόντος, ὄλεσσε

V. 160. αὐγείω c, w, Vat. 12 ap. Gaisf. M. — ἔνθεν w, Vat. 12 apud Gaisf. in quo etiam ἰόντα, quod recepimus cum Dahl. Gaisf. Kiessl.

V. 161. κατακλίνας w.

V. 162. περὶ μ. et suprascr. μετὰ μ. D.

V. 163. ὡς εἴπερ c, Vat. 9, M.

V. 164. μέσος ἀκμῆς c, w, Vat. 9, M, Brunck.

V. 167. Ἀργεῖος τις Brunck. — τις σέθεν Vat. 9. ἔνθεν w.

---

160. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΓΕΙΕΩ, Αὐγείου. ΕΘΕΝ, ἐκείνου, s. l. M.

161. ΣΧΟΛ. ΝΕΩΤ. ΗΚΑ, ἡσύχως, s. l. M.

162. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΓΧΥ, λίαν. ΣΕΘΕΝ, περὶ σοῦ, s. l. M.

163. ΣΧΟΛ. ΝΕΩΤ. ΣΦΕΤΕΡΗΙΣΙΝ, οἰκείαις. ΕΝΙ ΦΡΕΣΙ, ἐν φρεσί, s. l. M.

164. ΣΧΟΛ. ΝΕΩΤ. ΗΛΥΘΕ, ἦλθε. ΣΤΕΙΧΩΝ, πορευόμενος. ΑΠ' ΑΡΓΕΟΣ, τοῦ Ἄργους, s. l. M.

165. ΣΧΟΛ. ΝΕΩΤ. ΕΛΙΚΗΣ, πόλεως. ΕΞ ΑΓΧΙΑΛΟΙΟ, τῆς Ἀγχιάλου τῆς παραθαλασσίας, s. l. M.

166. ΣΧΟΛ. ΝΕΩΤ. ΜΥΘΕΙΤΟ, ἔλεγε. ΕΝ ΠΛΕΟΝΕΣΣΙΝ, πλείοσι. ΕΠΕΙΩΝ, τῶν Ἠλείων, s. l. M.

167. ΣΧΟΛ. ΝΕΩΤ. ΕΘΕΝ, ἐκείνου. ΠΑΡΕΟΝΤΟΣ, παρόντος. ΟΛΕΣΣΕ, ἀπώλεσεν, ἐφόνευσεν, s. l. M.

Digitized by Google

Θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
Κοίλην αὔλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος.
Οὐκ οἶδ' ἀτρεκέως, ἢ Ἄργεος ἐξ ἱεροῖο 170
Αὐτόθεν, ἢ Τίρυνθα νέμων πόλιν, ἠὲ Μυκήνην.
Ὡς κεῖνός γ' ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν
(Εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι) ἐκ Περσῆος.
Ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων,

V. 169. νεμίοιο w.

V. 170. ἀτρεκέως w, Brubach. Steph. ἀτρεκῶς Call. vett. duæ al. edd.

V. 171. Θτύρινθα sic c ap. Gaisf. πύρινθα w. — Μυκήναν w, Vat. 9, M. Μηκύναν (sic) c.

V. 172. κεῖνός γ' Junt. Valck. Gaisf. Kiessl. γ' vulgo omittitur et in D, Reisk. Harles.

V. 173. μιμνάσκομαι Junt.

---

168. ΣΧΟΛ. ΝΕΩΤ. ΑΙΝΟΛΕΟΝΤΑ, χαλεπὸν λέοντα. ΤΕΡΑΣ, σημεῖον. ΑΓΡΟΙΩΤΑΙΣ, τοῖς ἐν ἀγρῷ οἰκοῦσι, s. l. M.

169. ΣΧΟΛ. ΝΕΩΤ. ΑΥΛΙΝ ΕΧΟΝΤΑ, τόπον ἔνθα ηὐλίζετο. ΝΕΜΕΟΙΟ, τοῦ ἐν Νεμέᾳ τιμωμένου, s. l. M.

170. ΣΧΟΛ. ΝΕΩΤ. ΑΤΡΕΚΕΩΣ, ἀληθῶς. ΑΡΓΕΟΣ, Ἄργους. ΕΞ ΙΕΡΟΙΟ, ἱεροῦ, s. l. M.

171. ΣΧΟΛ. ΝΕΩΤ. ΝΕΜΩΝ, ἤγουν οἰκῶν. ΗΕ, ἤ. ΜΗΚΥΝΑΝ, Μηκύνην (sic) s. l. M.

172. ΣΧΟΛ. ΝΕΩΤ. ΩΣ, οὕτως. ΑΓΟΡΕΥΕ, ἔλεγεν. ΓΕΝΟΣ, τὸ γένος. ΜΙΝ, αὐτόν, s. l. M.

173. ΣΧΟΛ. ΝΕΩΤ. ΕΤΕΟΝ, ἀληθῶς. ΜΙΜΝΗΣΚΟΜΑΙ, μέμνημαι, s. l. M.

174. ΣΧΟΛ. ΝΕΩΤ. ΤΛΗΜΕΝΑΙ, ὑπομεῖναι ἢ ἐργάσασθαι, s. l. M.

Digitized by Google

Ἠὲ σέ· δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει 175
Χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
Εἴπ' ἄγε νῦν μοι πρῶτον (ἵνα γνῶω κατὰ θυμόν,
Ἥρως, εἴτ' ἐτύμως μαντεύομαι, εἴτε καὶ οὐκί)
Εἰ σύ γ' ἐκεῖνος, ὃν ἄμμιν ἀκουόντεσσιν ἔειπεν
Οὐ 'ξ Ἑλίκηθεν Ἀχαιός, ἐγὼ δέ σε φράζομαι ὀρθῶς. 180
Εἰπὲ δ' ὅπως ὁλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,

V. 175. ἢ σὲ D.

V. 176. ὅτι w. ὅ τις c. ὅ του D. — καλύπτῃ recent. quæd. edd. male.

V. 179. ἡμῖν Vat. 9, M, Junt. Brunck. ἤμμιν Call. vett. edd. ante Steph.

V. 180. οὐκ ἐξ Ἑ. w. ἐξ Ἑ. Vat. 9. — φρίζομαι c, w, M. δὲ φρίζομαι Vat. 9.

---

175. Σχολ. νεωτ. Ηε, ἤ. Θηρος, τοῦ λέοντος. Αριφραδεως, ἀριδήλως. Αγορευει, λέγει, δείκνυσι, s. l. M.

176. Σχολ. νεωτ. Καρτερον, ἰσχυρόν. Ὁ τοι, ὅ περ. Περι, παρά. Καλυπτει, περικαλύπτει σε, s. l. M.

177. Σχολ. νεωτ. Ειπ', εἰπέ. Γνωω, γνῶ, s. l. M.

178. Σχολ. νεωτ. Ερως, ὦ. Ετυμως, ἀληθῶς. Μαντευομαι, ἤγουν σημειοῦμαι, s. l. M.

179. Σχολ. νεωτ. Ακουοντεσσιν, ἀκούουσιν. Ειπεν, εἶπεν, s. l. M.

180. Σχολ. νεωτ. Οὐ 'ξ Ἑλικηθεν, ὁ ἐξ Ἑλίκης. Φριξομαι, φοβηθῶ, s. l. M.

181. Σχολ. νεωτ. Ολοον, ὀλέθριον. Το δε θηριον, τὸν λέοντα. Επεφνες, ἐφόνευσας, s. l. M.

Digitized by Google

Ὅππως τ' εὐὔδρου Νεμέης εἰςήλυθε χῶρον.
Οὐ μὲν γάρ κε τοσόνδε κατ' Ἀπίδα κνώδαλον εὕροις
Ἰμείρων ἰδέειν· ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
Ἀλλ' ἄρκτους τε, σύας τε, λύκων τ' ὀλοφώϊον ἔρνος. 185
Τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
Οἱ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο,
Γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.

V. 182. ὅππως δ' εὔυδρον c, M. εὔυδρον νομέης w. εὔυδρον νεμέης Vat. 9.

V. 183. τόσόν γε κατ' D. τόσον κατὰ πίδακα c, M. κατὰ πίδακα w, Vat. 9. ἀσπίδα Call. — κνωδὸν Vat. 9. κνώδαρον M. — εὕρης, oi suprascr. τῷ η, w.

V. 184. ἰμείρω Vat. 9. — πηλίκα c, w, Vat. 9.

V. 185. λύκων κολοφώνιον w. — ἔθνος Brunck. cum Lennep.

V. 186. μύθων w, M.

V. 187. νιν pro νυ Vat. 9.

V. 188. γνώσσης Vat. 9. — παρέουσιν w. παριοῦσι Call. vett. duæ al. edd. παρεοῦσι Brubach. Steph.

---

Τοὶ Συρακόσσαις ἐνίδρυνται Πελωρεῖς τᾷ πόλει, 5
Οἳ' ἀνδρὶ πολίτᾳ
(Σωρὸν γὰρ εἶχε χρημάτων)· μεμναμένοι
Τελεῖν ἐπίχειρα.
Πολλὰ γὰρ ποττὰν ζόαν τοῖς παισὶν εἶπε χρήσιμα·
Μεγάλα χάρις αὐτῷ. 10

Ἐπιτάφιον ΚΛΕΙΤΑΣ, τροφοῦ Μηδείου. ιή.

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θρεῖσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κηπέγραψε ΚΛΕΙΤΑΣ.
Ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντὶ τήνων,
Ὧν τὸν κῶρον ἔθρεψε. τί μάν; ἔτι χρησίμα καλεῖται.

V. 5. τοὶ cum Scaliger. Reisk. Valck. Brunck. Harles. Gaisf. Kiessl. pro vulgat. τὸν. οἱ Συρακούσσαις πελοριστὰι π. Vat. πέλωρις τῇ c, k, l. πελωρὶς τᾷ B et D, in cujus marg. γρ. πελωρίστα. Πελωρεῖς τᾷ π. cum Scaliger. Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. πελωριστᾷ quod Reisk. Harles.

V. 6. ὅσσ' ἀνδρὶ Vat. οἷα ἀνδρὶ Call. vett. edd. ante Steph. — πολῖται B. D, Junt.

V. 7. σωρὸν εἶχε ῥημάτων Vat. χρὴ μένων Junt. hæc cum Scaligero et Schotto parentheseos signis inclusit Reisk. — μεμναμένους B. D, Vat. c, k, l. μεμναμένοι cum Scaligero correxit Reisk. unde recent. edd. pro vulgari μεμναμένοις.

V. 9. πολλὰ καὶ Brunck. cum Toup. — ζόαν sic cum Call. vett. edd. ante Steph. Gaisf. Kiessl. vulgo ζωὰν Steph. Reisk. Br. Valck. Harles. — πᾶσιν Vat. — εἶχε vulgo Reisk. Harles. εἶπε Brunck. Valck. Gaisf. Kiessl.

XVIII. V. 1. τόδ' ἔτευξε et corrector τάδ' ἔτ. D. — Θραῖσσᾳ B. D. Θράσσᾳ Vat.

V. 2. Μήδειος, et corrector Μνήδειος, D. — κηνέγραψε B et D, in quo corrector κηπέγραψε, D. κἀπέγραψε Junt. κηπέγραψε vulgo Reisk. Harles. κηπέγραψε Valck. Gaisf. Kiessl.

V. 3. ἀξεῖ et corrector ἑξεῖ, D. — τὰν χ. ἁ γυνὰ sic cum Brunck. Valck. Gaisf. Kiessl. pro vulgatis τὴν χ. ἡ γυνὴ quæ Reisk. Harles. — ἀντ' ἐκείνων Vat.

V. 4. κῶρον Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. κοῦ-

Digitized by Google

Εἰς ΑΡΧΙΛΟΧΟΝ. ιθ'.

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴςιδε τὸν πάλαι ποιητὰν
Τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
Διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
Ἦ ῥά μιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων·
Ὡς ἐμμελής τ' ἔγεντο κἀπιδέξιος 5
Ἔπεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.

Εἰς ἀνδρίαντα ΠΕΙΣΑΝΔΡΟΥ τοῦ τὴν Ἡράκλειαν ποιήσαντος. κ'.

Τὸν τοῦ Ζανὸς ὅδ' ὕμμιν υἱὸν ὠνήρ,
Τὸν λειοντομάχαν, τὸν ὀξύχειρα,

ρον quod Reisk. Harles. — ἔθρεψε. τί cum Toup. Brunck. Valck. Gaisf. Kiessl. pro vulgatis ἔθρεψ' ἔτι quæ B. D, Reisk. Harles. — μὰν e Vat. Schæfer. Brunck. Gaisf. Kiessl. quos secuti sumus, pro vulgat. μὴν quod B. D, Reisk. Harles. — χρησίμα Brunck. Valck. Gaisf. Kiessl. pro vulgat. χρησίμη quod Reisk. Harles. — τελευτᾷ pro καλεῖται Vat.

XIX. V. 1. ποιητὴν Junt.

V. 3. κἠπὶ sine ι subscripto Valck. Gaisf. Kiessl. vulgo κἠπὶ Reisk. Harles. — ποτ' ἀῶ e Vat. Schæfer. quem secuti sunt Gaisf. Kiessl. pro vulgatis πρὸς ἀῶ.

V. 4. ἠράννιν Vat. apud Kiessl. — Μοῖσαι B. D. — λάϊος B. λάλιος D.

V. 5. ὡς Kiessl. — ἐγένετο Vat. ap. Kiessl. — κἀπιδέξιος Valck. Gaisf. Kiessl. vulgo κἀπιδέξιος Reisk. Harles.

V. 6. ἔπτεα Vat. apud Kiessl.

XX. V. 1. τῶ e Vat. Schæfer. Gaisf. Kiessl. pro vulgat. τοῦ quod Reisk. Valck. Harles. — ὕμμιν Wintert. Brunck. Valck. Gaisf. Harles. Kiessl. item Reisk. dare voluit ex mente Heinsii, pro vulgat. ὑμῖν. — ὠ' νὴρ D. ὠνὴρ e Vat. Schæfer. Brunck. Gaisf. Kiessl., quos secuti sumus, pro vulgat. ἀνὴρ quod Reisk. Valck. Harles.

V. 2. λεοντομάχαν D.

Digitized by Google

Πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος ξυνέγραψεν ὠ 'κ Καμείρου,
Χῶσους ἐξεπόνασεν εἶπ' ἀέθλους. 5
Τοῦτον δ' αὐτὸν ὁ δᾶμος (ὡς σάφ' εἰδῆς)
Ἔσταστ' ἐνθάδε, χάλκεον ποιήσας,
Πολλοῖς μασὶν ὄπισθε κηνιαυτοῖς.

Εἰς ΙΠΠΩΝΑΚΤΑ. κά.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππώναξ κεῖται.
Εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ·
Εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
Θαρσέων καθίζευ, κἂν θέλῃς, ἀπόβριξον.

V. 3. πρᾶτος sic cum B. D, Vat. c, k, l, Brunck. Gaisf. Kiessl. pro vulgat. πρῶτος quod Reisk. Valck. Harles. — ἐπάνωθι Junt.

V. 4. συνέγραψεν c, k, Brunck. Gaisf. Kiessl. pro vulgat. ξυνέγραψεν quod Reisk. Valck. Harles. — ὠ' κ cum Scaliger. Valck. Harles. Gaisf. Kiessl. pro vulgat. ὡκ quod Reisk. ὥκα μίρου B. ὠκ' αμίρου D.

V. 5. χὅσσους Vat. — ἐξεπόνασας D.

V. 8. μησίν Vat. — κηνιαυτοῖς sine ι subscripto Valck. Gaisf. Kiessl. pro vulgat. κηνιαυτοῖς quod Reisk. Harles. — Perperam in Cod. Vat. reliquis versibus subjicitur hic: ὅτι δέξιος ἦς ἔπεα ποιῆσαι ex Ep. XIX huc traductus.

XXI. Deest hoc carmen in Call. et aliis vett. edd. ante Steph. qui primus ex Anthologia in collectionem theocriteorum Epigrammatum recepit.

V. 2. προςέρχου B. D. μήποτ', ἔρχευ Vat. Ald. utraque.

V. 3. χρηστῷ est in Anthologia et margine Steph. qui χρηστῶν ex correctione Obsopæi recepit unde cet. edd.

V. 4. ἦν θέλῃς B et D, in quo corrector κ' ἦν θέλῃς.

Digitized by Google

Τοῦ αὐτοῦ εἰς τὴν ἑαυτοῦ βίβλον. κβ'.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,
Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκόσιος,
Υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίννης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφελκυσάμην.

κγ'.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα·

XXII. In titulo hujus epigrammatis pro τοῦ αὐτοῦ dant Θεοκρίτου Call. et vett. edd.

V. 1. ὃς τάδ' ἔγραψα sic cum Toup. Valck. Gaisf. Kiessl. pro vulgat. ὃς τάδε γράψα quæ Call. (in quo τόδε), Reisk. Harles. ὁ τ. γράψας Vat. 2, 6, Ald.

V. 2. τῶν om. Cod. Med. apud Kiessl. Ald. — Συρηκόσιος sic cum Valck. Gaisf. Kiessl. pro vulgat. Συρηκοσίων quod Reisk. Harles. Συρακούσιον Vatt. tres, Junt. Συρακούσιος Vat. alius.

V. 3. περικλυτὴς Vatt. duo Ald. Call. — Φιλίννης sic cum Junt. Toup. Valck. Gaisf. Kiessl. pro vulgat. Φιλίνης quod Reisk. Harles.

V. 4. ὀθνείαν Vat. 3. — οὔ τιν' ἐπεκτησάμην Vat. 3, unde οὔτιν' ἐφελκ. Junt. Call.

Hoc Epigramma, ut Artemidori Grammatici, Theocriti carminibus Brunck. præfixit. Hujus loco ceteris epigrammatibus aliud subjecit, in Cod. Vat. Theocrito adscriptum.

XXIII. Cod. Vat. hoc epigr. Theocrito tribuit: hinc addidit Brunckius, tom. I. Analect. p. 382. Leonidæ tribuit Planud. p. 28. St. 43. W. cum lemmate: Εἰς τραπεζίτην Κάϊκον διασυρτικόν (ἢ μᾶλλον τωθαστικόν, addit Vat.): quod falsum, judice Jacobsio. Exemplo Anthologiæ, quod in Bibl. Senatus Lips. asservatur, teste Reiskio, adscripta sunt hæc: *Quod Epigramma in vulgaribus editionibus Anthologiæ adscribitur Leonidæ in trapezitam Caicum, et incipit* ἀστοῖς καὶ ξείνοισιν, *id in edit. princ. a Constantino Lascari curata, Theocrito adscribitur hunc in modum:* Θεοκρίτου ἐπίγραμμα· ὡς εὕρηται ἔν τινι ἀρχαιοτάτῳ ἀντιγράφῳ Παύλου τοῦ βουκάρου ἐν Παταβίῳ. Eadem habentur in Schol. Wechel. *Kiessl.*

Digitized by Google

Θεὶς ἀνελεῦ, ψήφου πρὸς λόγον ἐρχομένης.
Ἄλλος τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Κάϊκος
Χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

κδ' (1).

Α παῖς ᾤχετ' ἄωρος ἐν ἑβδόμῳ ἤδ' ἐνιαυτῷ
Εἰς ἀΐδην, πολλῆς ἡλικίης προτέρη,
Δειλαίη, ποθέοισα τὸν εἰκοσάμηνον ἀδελφόν,
Νήπιον, ἀστόργου γευσάμενον θανάτου.
Αἰ [αἴ], ἐλεεινὰ παθοῖσα, Περιστερί, ὡς ἐν ἑτοίμῳ 5
Ἀνθρώποις δαίμων θῆκε τὰ λυγρότατα!

XXIII. V. 2. ἀρχομένης Vat. ἑλκομένης B. D.

XXIV. V. 1. ἡ Brunck.

V. 2. πολλῆς D, Brunck. πολλῆσιν B.

V. 3. ποθέουσα Brunck.

V. 5. λυγρὰ παθοῦσα Περιστερί, ὡς Brunck. vulg. αἰ αἰ ἐλεεινὰ παθοῖσα περιςερή.

V. 6. δεινότατα pro λυγρ. Brunck.

---

(1) Hoc epigramma non appellabimus ineditum, quum illud in lucem protulerint Brunckius et Jacobsius. Leonidæ Alexandrino tribuunt quidam, Theocrito vero, Mss. Codices B et D. Cf. Brunckii Anal. II, 198, LXI, et Jacobsii, T. III, pars 3, p. 908.

Digitized by Google

ΘΕΟΚΡΙΤΟΥ ΣΥΡΙΓΞ.

Οὐδενὸς εὐνάτειρα, Μακροπτολέμοιο δὲ μάτηρ,
μαίας Ἀντιπέτροιο θοὸν τέκεν ἰθυντῆρα·
οὐχὶ Κεράσταν, ὅν ποκα θρέψατο ταυροπάτωρ,
ἀλλ' οὗ Πιλιπὲς αἶθε πάρος φρένα Τέρμα σάκους.
οὔνομ' Ὅλον, δίζωον, ὃ τᾶς μέροπος πόθον 5
κούρας γηρυγόνας ἔχε τᾶς ἀνεμώδεος·
ὃς Μοίσᾳ λιγὺ πᾶξεν ἰοστεφάνῳ
ἕλκος, ἄγαλμα πόθοιο πυρισμαράγου·
ὃς σβέσεν ἀνορέαν ἰσαυδέα
Παπποφόνου, Τυρίαν τ' ἐρρύσατο. 10
ᾧ τόδε τυφλοφόρων ἐρατὸν
πᾶμα Πάρις θέτο Σιμιχίδας.
ψυχὰν ἀεί, βροτοβᾶμον,
στήτας οἶστρε Σαέττας,
κλωποπάτωρ, ἀπάτωρ, 15
λαρνακόγυιε, χάροις·
ἀδὺ μελίσδοις
ἔλλοπι κούρᾳ,
καλλιόπᾳ,
νηλεύστῳ. 20

In Titulo τῷ Πανὶ G. Z.

Versus primus ante Salmasium hic erat: Σύριγξ οὔνομ' ἔχεις, ᾄδει δέ σε μέτρα σοφίης, quem exhibent G. K. M. Z, Steph. σοφίας G. hunc versum ejecit Salmasius idoneis de causis.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ. ΣΥΡΙΓΞ ΟΥΝΟΜ' ΕΧΕΙΣ, τὸ ὄνομα ἔχεις σύριγξ· ἤγουν αὐλὸς εἶ μετωνυμικῶς. ΜΕΤΡΑ ΣΟΦΙΗΣ, περιφραστικῶς ἡ σοφία. s. l. M.

Digitized by Google

V. 1. μᾶτερ G. K. M. Z.

V. 2. Μαίης G. — ἀντιπέτροιο sic Salmasius ex optimo Codice, Valck. Kiessl. pro vulgat. ἀντιπάτροιο quod K. Z, Steph. ἀντιπάτροιο et corrector ἀντιπέτρου, M. — τέκες vulgo et G. K. M. Z, Steph. τέκεν Kiessl.

V. 3. οὔποτ' G. ὅν ποτ' K. M. Z. ὅν ποκα Kiessl. — ἐθρέψατο G. M. Z.

V. 4. ἀλλ' ἀπέλειπες, οὗ αἶθε vulgo et M. Z, Steph. ἀλλ' ἀπέλιπες αὖθι παρ' ὃν G. ἀλλαπέλιπες, οὗ αἶθε K. ἀλλ' οὗ Πιλιπὲς αἶθε Salmasius e conjectura, Kiessl.

V. 5. οὔνομ' ὅλον, δίζωον Salmasius, Kiessl. vulgo οὗ νομ' ὅλον δίζων Steph. δίζωον K. δίζων G. — ὃ τᾶς Salmas. Kiessl. pro vulgat. ὃς τᾶς quod M. Z, Steph. ὃς τὰς K.

---

1. ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΔΕΝΟΣ, ἤγουν τοῦ Ὀδυσσέως, τοῦ Οὔτις. ΕΥΝΑΤΕΙΡΑ, ὦ γυνή· ἤγουν ὦ Πηνελόπη. ΜΑΚΡΟΠΤΟΛΕΜΟΙΟ, ἤγουν τοῦ Τηλεμάχου. ΜΑΤΕΡ, μῆτερ. s. l. M.

2. ΣΧΟΛ. ΝΕΩΤ. ΜΑΙΑΣ ΑΝΤΙΠΑΤΡΟΙΟ, τῆς τοῦ τροφοῦ τοῦ Διὸς Ἀμαλθίας αἰγός, τοῦ ἐναντιωθέντος τῷ πατρὶ αὐτοῦ Κρόνῳ. ἢ τοῦ ἀντιπέτρου, τουτέστιν ἀνθ' οὗ πέτρος ἐδόθη τῷ Κρόνῳ εἰς κατάβρωσιν. ΑΝΤΙΠΑΤΡΟΙΟ, ἀντιπέτρου. ΘΟΟΝ, τὸν ταχύν. ΤΕΚΕΣ, ἐγέννησας. ΙΘΥΝΤΗΡΑ, ποιμένα, ἤγουν τὸν Πᾶνα. s. l. M.

3. ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΧΙ ΚΕΡΑΣΤΑΝ, οὐ λέγει ὅτι ἔτεκες τὸν Κομάταν τὸν ποιμένα τῶν κερασφόρων ζώων: ΤΑΥΡΟΠΑΤΩΡ, ἤγουν ἡ μέλισσα. s. l. M.

4. ΣΧΟΛ. ΝΕΩΤ. ΑΛΛ' ΑΠΕΛΕΙΠΕΣ, ἤγουν τὸν Πᾶνα ἔτεκες ἐκεῖνον. ΑΙΘΕ, ἀνῆπτεν, ἔθελγεν. ΠΑΡΟΣ, πρότερον. ΦΡΕΝΑ, τὸν νοῦν. ΤΕΡΜΑ ΣΑΚΟΥΣ, ἡ περιφέρεια τῆς ἀσπίδος, ἤγουν τὰ ἔργα τοῦ πολέμου. s. l. M.

5. ΣΧΟΛ. ΝΕΩΤ. ΟΥΝΟΜ' ΟΛΟΝ ΔΙΖΩΟΝ, οὗ τὸ ὄνομα ἤγουν τὸ εἶδος δίζωον. ἄνθρωπος γὰρ καὶ τράγος ὁ Πάν. ΟΣ, ὁ Πάν. ΤΑΣ ΜΕΡΟΠΟΣ, τῆς μεμερισμένης κατὰ τὴν ὄπα. ΠΟΘΟΝ, ἔρωτα. s. l. M.

Digitized by Google

V. 6. γηρυγόνας ἔχε Salmas. Kiessl. pro vulgatis γηρυόνας ἄθε quæ G. K. M. Z, Steph. — ἀνεμάδεος K.

V. 8. πυρισφαράγου vulgo et G. K. M. Z, Steph. πυρισμαράγου Kiessl.

V. 10. Τυρίας τ' ἀφείλετο G. M. Z. Τυρίαν τὲ ἀφείλετο K. Τυρίαν τ' ἐρρύσατο Salmas. ex conjectura, Kiessl.

V. 12. πᾶμα δὲ K. — Σιμμιχίδας K. M.

V. 13. ψυχὴν ὦ βροτοβάμων G. K. M. Z. sic Steph. qui ψυχάν. ψυχάν ἀεί, βροτ. Salmas. Kiessl.

---

6. ΣΧΟΛ. ΝΕΩΤ. ΚΟΥΡΑΣ, ἤτοι τῆς Σύριγγος, θυγάτηρ ἐστὶ τῆς φωνῆς. ΑΘΕ, ἀνῆπτεν ἐν ἑαυτῷ. συστέλλεται τὸ ᾱ. ΑΝΕΜΩΔΕΟΣ, ἤγουν τῆς ἐμπνευστῆς. s. l. M.

7. ΣΧΟΛ. ΝΕΩΤ. Ὁς, ὁ Πάν. ΜΟΙΣΑι, μούσῃ, τῇ Καλλιόπῃ, τῇ Μελπομένῃ. ΛΙΓΥ, ὀξύφωνον. ΠΑΞΕΝ, πῆξεν, κατεσκεύασεν. ΙΟΣΤΕΦΑΝΩι, ἤγουν τῇ καλλικόμῳ. s. l. M.

8. ΣΧΟΛ. ΝΕΩΤ. ΕΛΚΟΣ, ἤγουν σύριγγα. ΑΓΑΛΜΑ, ἤγουν τέρψιν. ΠΟΘΟΙΟ, τοῦ πόθου. ΠΥΡΙΣΦΑΡΑΓΟΥ, τοῦ ἐγκαρδίου. s. l. M.

9. ΣΧΟΛ. ΝΕΩΤ. Ὁς, ὁ Πάν. ΣΒΕΣΕΝ ΑΝΟΡΕΑΝ, κατέπαυσε τὴν ἀνδρείαν τὴν ὁμώνυμον. ΙΣΑΥΔΕΑ, τὴν ὁμώνυμον, ἤγουν τῶν Περσῶν. s. l. M.

10. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΠΠΟΦΟΝΟΥ, τοῦ Περσέως, ὃς ἀπέκτεινε τὸν πάππον αὐτοῦ Ἀκρίσιον. ΤΥΡΙΑΣ, τῆς Εὐρώπης μετωνυμικῶς, ἤγουν τῆς Ἑλλάδος. ΑΦΕΙΛΕΤΟ, ἐξέβαλε ταύτην. s. l. M.

11. ΣΧΟΛ. ΝΕΩΤ. Ὦι, τῷ Πανί. ΤΥΦΑΟΦΟΡΩΝ, τῶν σακκουλοφόρων ποιμένων. ΕΡΑΤΟΝ, τὸ ἐπιθυμητὸν κατὰ τὴν ψυχήν. s. l. M.

12. ΣΧΟΛ. ΝΕΩΤ. ΠΑΜΑ, τὸ κτῆμα, ἤγουν τὴν σύριγγα. ΠΑΡΙΣ, ἤγουν ὁ Θεόκριτος ἐγὼ κατὰ μετάληψιν. ΘΕΤΟ, ἀνέθηκεν. ΣΙΜΜΙΧΙΔΑΣ, υἱὸς τοῦ Σιμμίχου. s. l. M.

13. ΣΧΟΛ. ΝΕΩΤ. ΨΥΧΑΝ, σύναπτε εἰς τὸ ἐρατόν. ΒΡΟΤΟΒΑΜΩΝ, πετροβάμων. s. l. M.

Digitized by Google

V. 14. στάτας G. — δέτας vulgo et M. Z, Steph. δαίτας K. δέταο G. Σαίττας Salmas. Kiessl. Σαίτγας Codd. ap. Kiessl.

V. 15. κλωτοπάτωρ K. — τ' ἀπάτορ G.

V. 16. χαίροις G.

V. 17. μελίσδεις et corrector μελίσδοις G.

---

14. ΣΧΟΛ. ΝΕΩΤ. ΣΤΗΤΑΣ, γυναικὸς τῆς Νυμφάλης. ΟΙΣΤΡΕ, ἐραστά. ΔΕΤΑΣ, ἤγουν τῆς Λυδῆς. s. l. M.

15. ΣΧΟΛ. ΝΕΩΤ. ΚΛΩΠΟΠΑΤΩΡ, ἤγουν Ἑρμοῦ τοῦ κλέπτου υἱέ. ΑΠΑΤΩΡ, ἤγουν πολυπάτωρ. s. l. M.

16. ΣΧΟΛ. ΝΕΩΤ. ΛΑΡΝΑΚΟΓΥΙΕ, ἤγουν χηλόπου. χηλὴ γὰρ καὶ τὸ κιβώτιον. ΧΑΡΟΙΣ, ἤγουν χαίροις. s. l. M.

17. ΣΧΟΛ. ΝΕΩΤ. ΑΔΥ, εὐφραντόν. ΜΕΛΙΣΔΕΙΣ, εἴθε ᾄδοις. s. l. M.

18. ΣΧΟΛ. ΝΕΩΤ. ΕΛΛΟΠΙ ΚΟΥΡΑι, τῇ ἐλλειπομένῃ φωνῆς. ΚΟΥΡΑι, ἤγουν τῇ σύριγγι. s. l. M.

19. ΣΧΟΛ. ΝΕΩΤ. Καλλιόπα, τὴν καλλίστην ἔχουσαν ὄπα. s. l. M.

20. ΣΧΟΛ. ΝΕΩΤ. ΝΗΛΕΥΣΤΩι, τῇ ἀθεάτῳ ἢ ἀθανάτῳ. s. l. M.

Digitized by Google

[1] Τοῦ σοφωτάτου χαρτοφύλακος τῆς πρώτης Ἰουστινιανῆς καὶ πάσης Βουλγαρίας κυροῦ, Ἰωάννου τοῦ Πεδιασίμου, ἐξήγησις εἰς τὴν τοῦ Θεοκρίτου Σύριγγα.

Δίκαιος ἂν εἴην, οὐχ ἁπλῶς τὰ τῇ ἀληθείᾳ δοκοῦντα (δύσληπταν γὰρ ἡ ἀλήθεια), τὰ δὲ ἐμοὶ τυγχάνειν ἀληθείας [2] ἐπειλημμένα διὰ τὴν ὑμετέραν [3] λέγειν ἀξίωσιν. εἴη δὲ τὰ ἐμοὶ [4] δοκοῦντα, καὶ ἀληθείας ἐντὸς εἶναι. τὸ δὴ τῆς Θεοκρίτου [5] Σύριγγος, αἰνίγματι μὲν ὅμοιον, [6] διά τε τὴν τῶν μεταλήψεων πύκνωσιν, [7] καὶ διὰ τὸ ἀκροθιγῶς τῶν μνημονευθεισῶν ἱστοριῶν ἔχεσθαι, καὶ τὸ ἐλλειπὲς τῆς συντάξεως. καὶ ταῦτα μὴ κατὰ τὴν ἀττικὴν συνήθειαν, ἀλλά τινα ἔκφυλον, πολλὴν ἐμποιοῦσαν ἀσάφειαν. ἔχει μέντοι τόνδε τὸν τρόπον ἡ ταύτης ἀνάπτυξις, ὅσα ἐμοὶ [8] δοκεῖ. Σύριγξ οὔνομ' ἔχεις· ᾄδει δέ σε μέτρα σοφίης.] Ὁ πρῶτος στίχος ἀποκεκομμένην ἰδίως ἔχει τὴν ἔννοιαν. ἔστι γὰρ ἐπιγραφὴ τῆς σύριγγος. πρὸς τὴν σύριγγα δὲ αὐτὴν ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ, λέγοντος, ὡς μὲν ἔχεις ὄνομα 9 αὐτή, τὸ σύριγξ· τουτέστι, σύριγξ μὲν καλῇ, κατὰ τὰς [10] λοιπὰς σύριγγας. ᾄδει δέ σε] ἀντὶ τοῦ ψάλλει, οὐ τὸ [11] ᾠδικόν, εἴτουν ἁρμονικὸν μέρος τῆς σοφίας, ἤγουν

---

(1) Ἐξήγησις ε. τ. τοῦ Θεοκρίτου Σ. τ. σ. Χ. τ. π. Ἰουστινιανῆς, καὶ πάσης Βουλγαρίας, Κυροῦ Ἰωάννου Πόθου τοῦ Πεδιασίμου τοῦ καὶ ὑπάτου τῶν φιλοσόφων. M. — (2) ὑπειλήμματα M. — (3) λέγη M. — (4) δοκοῦντα, ἀληθείας ἐκτός M. — (5) Θεοκρίτου μὲν M. — (6) διὰ δὲ M. — (7) omittit καὶ M. — (8) δοκεῖν M. — (9) αὐτό M. — (10) ἄλλας σύρ. ead. man. in marg. λοιπὰς σύρ. M. — (11) ᾠδικὸν M.

Digitized by Google

μουσικῆς, ἀλλὰ τὸ μετρικόν. οὐ γὰρ ἐμπνευστὴ αὕτη ἡ σύριγξ, ἵνα καὶ ᾠδὰς ἔχῃ, ἀλλὰ μετρουμένη τῷ καλλίστῳ τῶν μέτρων δακτυλικῷ· ἢ καὶ ἄλλως· ᾄδει δέ σε οὐχὶ [1] αἰσθητὴ ἔμπνευσις στόματος, ἀλλὰ τὰ μέτρα τῆς σοφίας· ἤγουν, αὕτη ἡ σοφία περιφραστικῶς. [2] Εἶτα ἀποτείνει τὸν λόγον πρὸς [3] τὴν Πηνελόπην, τὴν τοῦ Ὀδυσσέως [4] ὁμόκοιτον. ἐπεὶ γὰρ τῷ Πανὶ ἀφιέρου τὴν σύριγγα, τοῦ Πανὸς δὲ μήτηρ [5] Πηνελόπη κατὰ τὸν μῦθον, ἐκεῖθεν ἀξιοῖ τοῦ λόγου καταάρξασθαι, καί φησιν· [6] Οὐδενὸς εὐνάτειρα, Μακροπτολέμοιο δὲ μᾶτερ.] ὦ εὐνάτειρα καὶ σύζυγε τοῦ οὐδενός, ἤγουν τοῦ Ὀδυσσέως. (7 οὕτω γὰρ Ὀδυσσεὺς κεκλῆσθαι προσεποιήσατο, ἡνίκα, μετὰ τὴν ἐκ Τροίας ὑποστροφὴν, ἁλώμενος τῷ Κύκλωπι Πολυφήμῳ ἐνέκυρσεν, ὃν καὶ τετύφλωκεν.) ἤ, οὐδενὸς τῶν μνηστήρων εὐνάτειρα· ἵνα καὶ οἰκείως ἔχῃ ὁ λόγος. Πηνελόπης γὰρ καὶ τῶν μνηστήρων ὁ Πάν, ἐξ οὐρίων, [8] εἴτουν ἀνεμπαίων γάμων, κατὰ τὴν μυθώδη τερατείαν, σπαρείς. ἑκάστῳ μὲν γὰρ τῶν μνηστήρων ὑπισχνεῖτο τὸν γάμον ἡ Πηνελόπη· ταῖς δὲ ἀληθείαις οὐδενὸς γυνὴ γέγονε· μήτηρ δὲ Μακροπτολέμου, ἤγουν τοῦ Τηλεμάχου. τῆλε γὰρ τὸ μακρόν, καὶ μάχη ἡ πόλεμος. ἐκ μὲν γὰρ Κίρκης Τηλέγονος, ἐκ δὲ Πηνελόπης τῷ Ὀδυσσεῖ γεννᾶται Τηλέμαχος. 9 Μαίης Ἀντιπάτροιο θοὸν τέκες ἰθυντῆρα.] [10] τὸ ἑξῆς· ὦ Πηνελόπη, σὺ τέκες καὶ ἐγέννησας τὸν θοὸν καὶ ταχὺν ἰθυντῆρα [11] καὶ ποιμένα τῆς Ἀμαλθείας τῆς μαίας καὶ τῆς τροφοῦ τοῦ Διὸς τοῦ ἀντιπάτρου, καὶ τοῦ ἐναν-

---

(1) αἰσθητὴ ἔμπνευσις M. — (2) περιφραστικῶς. αὐλοῦ δὲ τυγχάνον τουτὶ τὸ στόμα, μετωνυμικῶς οὕτως σύριγγα προσηγόρευσεν, ὡς καὶ τὰ ἑξῆς. εἶτα M. — (3) τὴν om. M. — (4) ὁμόκοιτον, εἰκότως. M. — (5) ἡ Π. M. — (6) Οὐδενὸς ε. M. δ. μ. om. M. — (7) οὕτις M. — (8) ἤτοι M. — (9) Μαίης Ἀ. θ. τ. ἰ. om. M. — (10) τὸ δὲ M. — (11) καὶ ποιμένα om. M.

Digitized by Google

τιωθέντος τῷ ἰδίῳ πατρί, [1] τῷ Κρόνῳ δηλαδή· ἤγουν, τὸν Πᾶνα. οὕτω γάρ [2] φησιν ἀνεῖσθαι Πανὶ τὴν τῶν ποιμνίων ἐφορείαν. ἀπὸ δὲ μόνης τῆς Ἀμαλθείας συννοεῖν δεῖ καὶ [3] πᾶν θρέμμα. τινὲς δὲ τὸ [4] Ἀντιπέτρου, ἐκ τοῦ ἀντὶ πέτρας γεγενῆσθαί φασιν, ἵν' ᾖ, ἀντίπετρος ὁ Ζεύς· ἀνθ' οὗ δηλονότι πέτρα ἐδόθη τῷ Κρόνῳ, ζητοῦντι τὸν Δία, βρέφος ἔτι ὄντα, καταπιεῖν. ὡς δὲ παιδοφάγος ὁ Κρόνος, καὶ ὡς λίθον ἀντὶ τοῦ Διὸς καταπέπωκεν ὑπὸ τῆς Ῥέας ἀπατηθείς, καὶ ὡς ἐκτεθείη ὁ Ζεύς, καὶ ὑπ' Ἀμαλθείας αἰγὸς μαιευθείη, δῆλον ἐκ τῶν ἱστοριῶν, καὶ οὐ δεῖ λεπτομερῶς τὰ περὶ αὐτῶν ἀκριβώσασθαι. [5] Οὐχί κεράσταν, ὃν ποτε θρέψατο ταυροπάτωρ] Ἐπεὶ δὲ οὐ κυριωνυμικῶς εἶπε τὸν Πᾶνα, [6] ἀλλὰ ἰθυντῆρα τῶν θρεμμάτων, ἦν δὲ καὶ Κομάτας ποιμένων ἐπίσημος, ὡς φιλόθεος ἢ φιλόμουσος, ποιεῖται διαστολὴν καί φησιν· οὐχὶ τὸν Κομάταν λέγω τὸν κεράσταν· τουτέστι, τὸν ποιμένα τῶν κερασφόρων ζώων· οὐ γὰρ αὐτὸς ἦν κεράστης, ἤγουν κερασφόρος. ὃν ποτ' ἐθρέψατο μέλισσα, ἥν φησι ταυροπάτορα, τὴν ἔχουσαν δηλαδὴ τὸν ταῦρον πατέρα. γενέσθαι γὰρ ταῖς μελίσσαις ἀρχὴ σῆψις βοείων κρεῶν. Ἱστορία. Ἱστόρησαι δὲ περὶ τοῦ Κομάτα [7] τούτου, ὡς ποιμὴν ὢν [8] καθ' ἑκάστην ταῖς Μούσαις ἐκ τῶν θρεμμάτων ἔθυεν. ἐφ' ᾧ δυςχεράνας ὁ δεσπότης αὐτοῦ, κατέκλεισεν αὐτὰν ἐν ξυλίνῃ λάρνακι, Μούσαις ἐπιτρέψας τὴν αὐτοῦ σωτηρίαν, ἃς ὑπερβαλλόντως ἐσέβετο. χρόνῳ [9] δὲ ὕςερον ἀνοίξας τὴν λάρνακα ζῶντά τε τὸν Κομάταν εὑρίσκει, καὶ

---

(1) τὸν Κρόνον M. — (2) φασιν M. — (3) πάντα θρέμματα M. — (4) ἀντιπάτρου ἐκ τοῦ ἀντιπέτρου M. — (5) οὐχὶ κ. ὃ. π. θ. τ. om. M. — (6) ἀλλ' ἰθυντῆρα θρεμμάτων M. — (7) τοῦτο M. — (8) καθεκάστην M. — (9) δ' ὕστερον M.

Digitized by Google

κηρία μέλιτος, οἷς περιεσώσατο τὴν ζωήν. [1] Ἀλλ' ἀπέλειπες οὗ αἶθε πάρος φρένα τέρμα σάκους.] Οὐχὶ τὸν Κομάταν οὖν (φησὶ) λέγω, ἀλλὰ τὸν Πᾶνα, ὃν ἀπὸ σοῦ ἡμῖν ἔλιπες· ἀντὶ τοῦ, ὃν γεννηθέντα σοι δέδωκας ἡμῖν. τὸ δὲ λέγειν ὡς καὶ Κομάτας Πηνελόπης υἱός, μὴ καὶ ταῖς ἀληθείαις ἀνάρμοστον εἴη, σκοπεῖν ἄξιον. Πηνελόπη μὲν γὰρ εἰς Ἰθάκην, Κομάτας δὲ Σικελός· καὶ ἡ μὲν ἐπὶ [2] τῶν Ἰλιακῶν, ὁ δὲ ἐπὶ τῶν Ῥωμαϊκῶν. μεταξὺ δὲ τοῖν τόποιν καὶ χρόνοιν τούτοιν χάσμα μέγα ἐστήρικται. οὗ Πανὸς αἶθε καὶ ἔφλεγε καὶ ἀνῆπτε τὴν φρένα καὶ τὴν ψυχήν, τέρμα σάκους. οὐχὶ μεταληπτικῶς γυνή τις [3] Ἴτυς καλουμένη ὁμωνύμως τῇ ἴτυϊ, τῷ τέρματι τοῦ σάκους, ἀλλ' αὐτὴ ἡ ἴτυς, τουτέστιν ἡ ἀσπίς, ἀπὸ μέρους τὸ ὅλον. μᾶλλον δὲ ἀπὸ μόνης τῆς ἀσπίδος καὶ πᾶν ὅπλον· ἵν' ᾖ ἡ ἔννοια, ὅτι ἔρωτα εἶχε τῶν ὅπλων, ἤγουν, τῶν πολεμικῶν ἔργων. ἱστόρηται γὰρ ὁ Πὰν συστρατεῦσαι τῷ Διονύσῳ παρ' Ἰνδούς, καὶ ἔργα ποιῆσαι πολεμικά. τὸ δὲ πάρος, ἤγουν πρότερον, οὐκ ἐναντιοῦται τῷ λόγῳ. οὐ γὰρ ἀεὶ ὁ Πὰν περὶ τὰ πολεμικὰ [4] ἠσχολῆσθαι ἱστόρηται, ἀλλ' ὅτε ὁ Διόνυσος κατὰ τῆς Ἀσίας ἐστράτευσεν. Οὗ ὄνομ' ὅλον [5] δίζων] ἤγουν, οὗ ὄνομα ὅλον δίζων· τουτέστιν ἐκ δύο ζώων σύνθετον. τὰ μὲν γὰρ κάτω ὁ Πὰν τράγος· τὰ δ' ἄνω, ἄνθρωπος. λαμβάνει δὲ ἐνταῦθα τὸ ὄνομα ἀντὶ [6] εἴδους τοῦ Πανός· οὐ γὰρ τὸ ὄνομα τοῦ Πανὸς [7] δίζων, ἀλλὰ τὸ εἶδος. [8] Ὅς τὰς μέροπος πόθον κούρας γηρυόνας ᾗθεν.] ὃς [9] ᾖθε καὶ

---

(1) ἀλλ' ἀ. ο. α. π. φ. τ. σ. om. M. — (2) τὸν ἰλιακὸν, ὁ δὲ ἐπὶ τὸν Ῥωμαϊκὸν ἦν πόλεμον, μετ. M. — (3) καλουμένη Ἴτυς. M. — (4) ἠσχόλητο, ὡς ἱστόρηται M. — (5) οὗ ὄνομα ὅλον δίζων, ἤγουν ἐκ δύο ζώων M. — (6) τοῦ M. — (7) δίζων M. — (8) Ὅς τ. μ. π. κ. γ. ᾗ. om. M. — (9) ᾗθε M.

Digitized by Google

ἀνῆπτε πόθον [1] καὶ ἔρωτα ἕνεκεν τῆς κόρης, ἤγουν τῆς Σύριγγος· οὐ γυναικός τινος, ὥς φασι, κατὰ μεταλήψιν, [2] ἀλλὰ τοῦ ἐμπνευστοῦ ὀργάνου. [3] κόρην δέ φησι, διὰ τὸ τερπνὸν καὶ τὸ τῆς ἡδονῆς μαλθακὸν καὶ φιλοτήτων ἐπαγωγόν· οὗ χάριν καὶ ἐπιφέρει, μέροπος γηρυόνης, τουτέστι, μεμερισμένης κατὰ τὴν ὄπα. εἰ γὰρ μονόφθογγος, εἴτουν μονόφωνος ἦν ἡ σύριγξ, ἦν ἂν ἀνάρμοστος, καὶ [4] μηδὲ ψυχὴν ἀνθρωπίνην [5] κηλεῖν οἵα τε. ἡ γὰρ ψυχὴ ἐξ ἁρμονιῶν συνέστηκε, καὶ ἐκ μόνων τῶν συγγενῶν ἁρμονιῶν [6] κηλεῖσθαι πέφυκεν. ἁρμονία δέ ἐστι πολυμιγέων καὶ δίχα φρονεόντων ἕνωσις. τὸ δὲ γηρυόνης ἀντὶ τοῦ φωνητικῆς, ἀπὸ τοῦ γῆρυς, ἡ φωνή. Ὑστερόφωνα δὲ ἠχοῦς καὶ θυγατέρας φωνῆς, ὡς ἄργα μοι παρέδραμε. Τᾶς ἀνεμώδεος] ἤγουν, τῆς ἐμπνευστῆς. [7] ἐμπνευστὸν γὰρ ἡ σύριγξ. [8] Ὃς Μοίσᾳ λιγὺ πᾶξεν ἰοστεφάνῳ] ὅς, ἤγουν ὁ Πάν, τῇ Μούσῃ τῇ Καλλιόπῃ, μᾶλλον δὲ τῇ Μελπομένῃ· [9] καὶ πάσας διὰ τοῦ ἑνικοῦ αἰνίττεται ὀνόματος. πῆξε δὲ καὶ κατεσκεύασε λιγὺ καὶ ὀξύφωνον ἕλκος, καὶ σύριγγα κατὰ μετάληψιν. καὶ γὰρ ἡ σύριγξ οὐ μόνον τὸ ἐμπνευστὸν ὄργανον τὸ ποιμενικὸν σημαίνει, ἀλλὰ καὶ τὸ διαβεβρωμένον ἕλκος τὸ μοτοῦ δεόμενον. ἀντὶ γοῦν τοῦ ἑτέρου σημαινομένου τῆς σύριγγος, ἤγουν τοῦ ὀργάνου, τὸ ἕλκος [10] περιείληφεν· ὅπερ ἐστὶ μετάληψις. ἰοστεφάνῳ δὲ Μούσῃ, ὡς θηλείᾳ θεᾷ. θηλείαις γὰρ πρέπον [11] στέφανος. τὸ δὲ λέγειν Μοῦσαν ἰοστέφανον τὸ ἔαρ, οὐ μοι δοκεῖ λόγου ἔχεσθαι. [12] Ἕλκος ἄγαλμα πόθοιο πυ-

---

(1) πόθον καὶ ἔρωτα ἕνεκεν τῆς M. — (2) ἀλλ' αὐτοῦ M. — (3) ἣν κόρην M. — (4) μὴ δὲ M. — (5) Sic cum M. καλεῖν Kiessl. — (6) Sic cum M. καλεῖσθαι Kiessl. — (7) ἐμπνευστὴ M. — (8) ὁ. M. λ. π. ἰ. om. M. — (9) ἢ καὶ M. — (10) παρείληφεν M. — (11) ὁ σ. M. — (12) ἕλκος ἄ. π. π. om. M.

Digitized by Google

ροσφαράγου.] ἔστι δὲ ἡ σύριγξ ἄγαλμα, [1] ἤγουν τέρψις καὶ παροξυσμὸς τοῦ πόθου τοῦ ἐγκαρδίου, ὃν πυροσφάραγον λέγει, ὡς ἐν τῷ πυρὶ τῆς καρδιακῆς θέρμης σπαραττόμενον καὶ ἀναφλεγόμενον. εἰδέναι δὲ ἄξιον, ὡς ὑποδοχὴν τοῦ τριμεροῦς τῆς ψυχῆς, λέγω δὴ λόγου, θυμοῦ καὶ ἐπιθυμίας, τρεῖς σωματικὰς ἀρχὰς κυριωτάτας ἡ φύσις ἐδημιούργησεν, ἐγκέφαλον μέν, εἰς ὑποδοχὴν τοῦ [2] λογιστικοῦ, καρδίαν δέ, τοῦ θυμοειδοῦς, ἧπαρ δέ, τοῦ ἐπιθυμητικοῦ. ἀρχὴ δὲ πάλιν αὐτῶν, ἡ καρδία. διὸ καὶ ἀπαθεστάτη. τοίνυν εἰ καὶ ἐγκάρδιόν τις τὸν πόθον ἐρεῖ, οὐχ ἁμάρτη τοῦ δέοντος, διὰ τὸ καὶ ἥπατος εἶναι τὴν καρδίαν ἀρχήν. [3] Ὃς σβέσεν ἀνορέαν ἰσαυδέα] ὅς, ἤγουν ὁ Πάν, ἔσβεσε τὴν περσικὴν ἀγερωχίαν, ὅτε συνεστρατήγει [4] τοῖς Ἕλλησι. ἣν καὶ ἰσαυδέα, ἤγουν ὁμώνυμόν φησι [5] τοῦ παπποφόνου, τοῦ Περσέως [6] δηλαδή. ἀπὸ γὰρ Περσέως, Πέρσης, ἐξ οὗ [7] τῶν Περσῶν γένος. παπποφόνος δὲ ὁ Περσεύς, καθὼς ἱστορεῖ [8] καὶ Λυκόφρων. τὸν γὰρ πάππον Ἀκρίσιον μετὰ τὸν κατὰ [9] Γοργόνης ἆθλον ἀπέκτεινε, καὶ [10] ἀφείλετο, ἀπὸ κοινοῦ, τὴν ἠνορέαν καὶ τὴν περσικὴν ἀλαζονείαν [11] ἀπὸ τῆς Τυρίας, ἤγουν τῆς Εὐρώπης μετωνυμικῶς. [12] ἐν γὰρ τῇ Τύρῳ τῇ Εὐρώπῃ ὁ Ζεὺς ἐμίγη. Ὧι τόδε τυφλοφόρων] ᾧτινι Πανὶ τὸ πᾶμα καὶ [13] κτῆμα τόδε τῶν τυφλοφόρων, ἤγουν τῶν ποιμένων κατὰ μετάληψιν, τουτέστι πηροφόρων καὶ σακκοφόρων. πηροφόρος

---

(1) εἴτουν M. — (2) λογικοῦ M. — (3) Ὃς σ. ἀ. ἰ. om. M. — (4) Sic nos cum M. τῷ Διονύσῳ Kiessl. — (5) τοῦ παπποφόνου om. M. — (6) δηλαδὴ om. M. — (7) τὸ M. — (8) καὶ om. M. — (9) Γοργόνων M. — (10) καὶ ἐξέβαλεν, M. — (11) ἀπὸ M. ὑπὸ Kiessl. — (12) ἐκ Τύρου γὰρ ἡ Εὐρώπη. τουτέστι τῆς κατὰ τὴν Εὐρώπην διακειμένης Ἑλλάδος· συνεμάχησε γὰρ τοῖς Ἕλλησι κατὰ τοῦ Ξέρξου καὶ τῶν Περσῶν ὁ Πάν, ὡς εἴρηται. M. — (13) τὸ κτ. M.

Digitized by Google

γάρ [1] καὶ ὁ τυφλοφόρος, τὸ ἐρατὸν καὶ ἐπιθυμητὸν κατὰ ψυχὴν ὁ Πάρις, ἤγουν ὁ Θεόκριτος κατὰ μετάληψιν, διὰ τὸ καὶ τὸν Πριημίδην Πάριν κρῖναι τὰς τρεῖς θεὰς περὶ τοῦ μήλου καὶ τῆς Ἔριδος, καὶ δύνασθαι καλεῖσθαι Θεόκριτον, θέτο καὶ ἀνέθηκεν ὁ [2] Σιμιχίδης, καὶ ὁ υἱὸς τοῦ [3] Σιμιχίδου. εἶτα πρὸς αὐτὸν τὸν Πᾶνα προςφώνημα. [4] Ὦ βροτοβᾶμον στάτας] ὦ Πὰν [5] βροτοβᾶμον, ἤγουν [6] πετροβᾶμον. ἐκ πετρῶν γὰρ οἱ βροτοὶ κατὰ τὸν παλαιὸν [7] μῦθον. οἶστρε καὶ [8] ἔρως τῆς Νυμφάλης τῆς στήτης καὶ [9] γυναικός, τῆς δέτας καὶ Λυδῆς. Κλωποπάτορ τ' ἀπάτορ· ἤγουν, Ἑρμοῦ τοῦ κλέπτου υἱέ. [10] κατά τινας γὰρ πάλιν Ἑρμοῦ παῖς ὁ Πάν. [11] ἀπάτορ, ἤγουν πολυπάτορ· ἐκ πολλῶν γὰρ τῶν μνηστήρων [13] γεγένηται. λαρνακόγυιε] ἤγουν χηλόπου κατὰ μετάληψιν. χηλὸς γὰρ τὸ κιβώτιον, καὶ ἡ λάρναξ, καὶ χηλὴ ὁ ὄνυξ. χαίροις, ἡδὺ μελίζοις] ἐν τῇ σύριγγι τῇ ἔλλοπι καὶ τῇ ἀφώνῳ· τῇ ἐλλειπομένῃ [14] δηλαδὴ ὀπὸς καὶ φωνῆς. αὐτὴ γὰρ [15] καθ' ἑαυτὴν ἡ σύριγξ μὴ ἐμπνεομένη πρός τινος, ἄφωνός ἐστι. τῇ κόρῃ πάλιν, καθὼς εἶπον, διὰ τὸ τερπνὸν καὶ ἐπαγωγόν, τῇ Καλλιόπῃ, καὶ καλλίστην ἐχούσῃ ὄπα, ἐπὰν ἐμπνέῃται. τῇ νηλεύστῳ, καὶ ἀθεάτῳ. ἀπὸ τοῦ νῆ στερητικοῦ μορίου καὶ τοῦ λάω, τὸ βλέπω. ἀθέατον γὰρ τὸ ἀπήχημα. ἢ νηλεύστῳ, τῇ ἀλιθοβολήτῳ, ἤγουν ἀθανάτῳ· ἀπὸ τοῦ νῆ [16] στερητικοῦ, καὶ τοῦ [17] λεύω τὸ λιθοβολῶ. ὁ λόγος γὰρ οὐ λιθάζεται.

---

(1) καὶ om. M. — (2) Σιμμιχίδης M. — (3) Σιμμίχου M. — (4) Ω β. στ. om. M. — (5) βροτοβάμων M. — (6) πετροβάμων M. — (7) ὕθλον M. — (8) ἐραστὰ M. — (9) τῆς γ. M. — (10) ἢ τοῦ κρυφίως ὡς κλέπτου εἰς Πηνελόπην εἰςελθόντος M. — (11) ἀπάτωρ M. — (12) πολυπάτωρ M. — (13) γεγένηται M. — (14) δηλονότι M. — (15) κατ' αὐτὴν M. — (16) στ. μορίου M. — (17) λάω M.

Digitized by Google

Τοῦ σοφωτάτου ῥήτορος Ὀλοβόλου ἐπιγραμμα εἰς τὴν Σύριγγα.

Ἦχημα Μουσῶν ἡ Θεοκρίτου Σύριγξ. M. G.

Τοῦ αὐτοῦ.

Σύριζε τὴν σύριγγα τήνδε συντόνως,
Εἴ τις λόγων πέφυκας [1] ἔννουν τεκνίον,
Καὶ γάλα Μουσῶν ἐξαποθλίβειν θέλεις. M.

Τοῦ σοφωτάτου ῥήτορος τῶν ῥητόρων κυροῦ Μαξίμου τοῦ Ὀλοβόλου εἰς τὴν Θεοκρίτου Σύριγγα σύνοψις τῶν μέτρων.

Τὸ ἐπιγραμμάτιον ἡ Σύριγξ τοῦ Θεοκρίτου, ἔστι μὲν ἐννεάφωνον, ὡς ὁρᾷς, ὁπὰς γὰρ ἔχει ἐννέα, συνέστηκε δὲ ἐκ μέτρων μὲν ὅλων δακτυλικῶν ποσότητι δέκα, διαφερόντων δὲ ἀλλήλοις. ἤγουν τὸ μὲν πρῶτον, τρίστιχον [2] ἑξάμετρον ἀκατάληκτον, ἤτοι μὴ δεόμενον καταλήξεως, μετρούμενον [3] ὡς ἡρωϊκόν· τὸ δὲ δεύτερον, [4] δίστιχον ἑξάμετρον καταληκτικόν, ἤγουν ἀτελές· δέεται γὰρ καταλήξεως, ἤτοι μιᾶς συλλαβῆς. τὸ δὲ τρίτον, δίστιχον πεντάμετρον ἀκατάληκτον, ἤγουν δεόμενον καταλήξεως. τὸ δὲ τέταρτον, δίστιχον πεντάμετρον καταληκτικόν, ἤγουν δεόμενον συλλαβῆς ὡς καταληκτικόν. τὸ πέμπτον, δίστιχον τετράμετρον ἀκατάληκτον, μὴ δεόμενον καταλήξεως διὰ τὸ εἶναι ἀπηρτισμένον. τὸ ἕκτον, δίστιχον τετράμετρον [5] καταληκτικόν, ἤτοι δεόμενον συλλαβῆς εἰς τὸ γενέσθαι τετράμετρον. τὸ ἕβδομον μονόστιχον, τρίμετρον ἀκατάληκτον, ἤτοι μὴ δεόμενον συλλαβῆς ὡς ἀπηρτισμένον. τὸ δὲ ὄγδοον, τρίστιχον, τρίμετρον καταληκτικόν, ἤγουν δεόμενον συλλαβῆς, ὥςτε

(1) Marg. εὔνουν τεκνίον. — (2) ἑξάμετρον ἐστίν. G. — (3) ὡς οἱ ἡρωϊκοί G. — (4) δακτυλικὸν ἑξάμετρον G. — (5) ἀκατάληκτον G.

Digitized by Google

γενέσθαι τέλειον τρίμετρον. τὸ δὲ ἔννατον, δίστιχον δίμετρον [1] ἀκατάληκτον μὴ δεόμενον συλλαβῆς ὡς τέλειον δίμετρον. [2] τὸ δὲ δέκατον, δίστιχον δίμετρον καταληκτικόν, ἤγουν δεόμενον συλλαβῆς ὥστε γενέσθαι τέλειον δίμετρον. M.

Τοῦ αὐτοῦ σύνοψις τῆς ἐννοίας καὶ σύνταξις καὶ ἀνάπτυξις τῶν λέξεων.

Σύριγξ οὔνομ' ἔχεις, ᾄδει δέ σε μέτρα σοφίης. Οὐδενὸς εὐνάτειρα τοῦ Ὀδυσσέως γυνή, μακροπτολέμοιο δέ, ἤγουν τοῦ Τηλεμάχου, μῆτερ Πηνελόπη, μαίης τῆς Ἀμαλθείας αἰγός· ἀντιπάτροιο, ἤγουν τοῦ Διὸς τοῦ ἐναντίου τῷ πατρὶ Κρόνῳ, ἢ ἀντιπέτροιο, ἀντὶ τούτου γὰρ πέτρα ἐδόθη τῷ Κρόνῳ εἰς κατάβρωσιν· θοὸν τέκες ἰθυντῆρα, καὶ ποιμένα, οὐχὶ Κεράσταν, οὐχὶ λέγει τὸν Κομάταν, ὃν ἐθρέψατο ἡ ταυροπάτωρ ποτέ, ἤγουν ἡ μέλισσα. ἀλλ' ἀπέλειπες καὶ ἔτεκες τὸν Πᾶνα· οὗ τὴν φρένα αἶθε καὶ ἀνῆπτε τέρμα σάκους, ἤγουν ἴτυς, γυνὴ ὁμοία τῇ περιφερείᾳ. οὗ τὸ ὄνομα ὅλον δίζωον, ἤγουν τὸ εἶδος, ἄνθρωπος γὰρ καὶ τράγος ὁ Πάν· μέροπος τῆς [3] ἠχοῦς τῆς κούρης καὶ τῆς θυγατρὸς τῆς γήρυος, ἤγουν τῆς φωνῆς. ᾗθε καὶ ἀνῆπτεν· ἕλκος τὴν σύριγγα, ὅτι καὶ τὰ ἕλκη σύριγγες ὀνομάζεται. ὅς· ὁ Πὰν ἔπαυσε τὴν ἠνορέαν καὶ τὴν ἀνδρίαν, τὴν ἰσαυδέα, τὴν ὁμώνυμον τοῦ Παπποφόνου, ἤγουν τοῦ Περσέως, ἤγουν τῶν Περσῶν μετωνυμικῶς, καὶ ἀφεῖλετο καὶ ἐξέβαλεν ἐκείνην τῆς Εὐρώπης δηλονότι. ᾧ τόδε, ἤγουν τὴν σύριγγα, τὸ κτῆμα τῶν τυφλοφόρων καὶ σακκουλοφόρων, ἤγουν τῶν ποιμένων, πήρα γὰρ τὸ σακκούλιον καὶ πηρὸς ὁ τυφλός, ἀνέθηκεν ὁ Πάρις, ἤγουν ὁ Θεόκριτος. ὁ γὰρ Πάρις διὰ τὸ κρῖναι τὰς θεὰς ὠνόμασται Θεόκριτος· ὦ

(1) δικατάληκτον G. — (2) τὸ δὲ δέκατον τετράμετρον ἀκατάληκτον M. — (3) s. l. sic cum G. ἠοῦς M.

Digitized by Google

βροτοβάμων καὶ πετροβάμων, ἐκ πετρῶν γὰρ οἱ βροτοὶ, ὡς ὁ μῦθος. οἶστρε, καὶ ἐραστὰ τῆς στήτας καὶ τῆς γυναικὸς τῆς θαίτας, καὶ τῆς Αυθίας, ἤγουν τῆς Νυμφάλης. κλωποπάτωρ, ἤγουν τοῦ κλέπτου Ἑρμοῦ υἱέ· ἀπάτωρ, πολυπάτωρ, ἤτοι τῶν μνηστήρων υἱέ. λαρνακόγυιε, ὁ ἔχων χηλὰς εἰς τὰ γυῖα, ὁμωνύμως καὶ τοῦτο· χηλὴ γὰρ ἡ λάρναξ, καὶ τὸ κεβώτιον. ἔλλοπι, τῇ ἐλλειπομένῃ φωνῇ. δικαίως δὲ καὶ Καλλιόπη ἡ αὐτή, ὡς ὕστερον ᾄδουσα. Μ.

Τὸ Ἐπιγραμμάτιον εἰς Πᾶνα ἐπιγραφέν, Σύριγξ, διὰ τὸ σχῆμα τῆς γραφῆς. καὶ ὅτι ὁ Θεόκριτος, σύριγγα ἀνατιθεὶς τῷ Πανί, ταῦτα ἔγραψεν. Ἡ δὲ ἔννοια τῶν πρώτων στίχων αὐτή·

Ὦ Πηνελόπη, ἔτεκες αἰπόλον. Εἶπε δὲ τὴν Πηνελόπην Οὐδενὸς εὐνατῆρα τοῦ Ὀδυσσέως γυνή, ὃς τὸ ὄνομα ἑαυτοῦ Οὖτις εἶπε. τὸν δὲ Πᾶνα ἔνιοι γηγενῆ ἱστοροῦσιν, ἔνιοι δὲ αἰθέρος καὶ νύμφης Οἰνοῆς, ὡς καὶ Πίνδαρος, ἔνιοι δὲ Ὀδυσσέως. Μακροπτόλεμος δὲ ὁ Τηλέμαχος· τὸ γὰρ τῆλε μακράν, πόλεμος δὲ ἡ μάχη. μαῖαν, τὴν αἶγα τὴν μαιευσαμένην τὸν Δία. τὸν Ἀντίπατρον καὶ Ἀντίπετρον ἀνθ' οὗ πέτρος ἐδόθη τῷ Κρόνῳ, ἐτράφη δὲ ὑπὸ αἰγὸς Ἀμαλθίας. ἰθυντῆρα οὖν τῆς τροφῆς τοῦ Διὸς τὸν αἰπόλον λέγει. κεράστας, ὥς φασιν, ἡ Πηνελόπη ἔτεκε τὸν Πᾶνα καὶ τὸν Κομάταν, οὗ μέμνηται ἐν τοῖς Βουκολικοῖς, ὅτι κατακλεισθέντα αὐτὸν εἰς λάρνακα ἔθρεψαν μέλισσαι· διὰ τοῦτο εἶπεν οὐ τὸν Κομάταν λέγω. ταυροπάτραν δὲ τὴν μέλισσαν, ἐπεὶ σηπομένων τῶν ταύρων μελίσσας γίνεσθαι φασίν. ἀλλ' ἐκεῖνον τὸν αἰπόλον ἀπέλιπες καὶ ἔτεκες εἰάσας (*forte* εἴασας) σὺ θανοῦσα, ὃς τῆς ἴτυος ἠράσθη. τέρμα δὲ σάκους εἶπε τὴν ἴτυν, ἐπεὶ ἡ ἐξωτάτη περιφέρεια τῆς ἀσπίδος, ἴτυς καλεῖται. δίζωον δὲ αὐτὸν εἶπεν, ὅτι εἶδος ἔχει ἀνθρώπου καὶ τράγου, ὃς τῆς Ἠχοῦς ἠράσθη, ἥτις οὐχ ὅλην φθέγγεται τὴν φωνήν, ἀλλὰ μέρους τὸ τελευταῖον. Γηρυόνην δέ, ἐπειδὴ ἐκ τῆς γήρυος, ἤτοι τῆς φωνῆς, τὴν γένεσιν ἔχει· διὸ καὶ ἀνεμώδη

Digitized by Google

αὐτὴν εἶπε καὶ πνευματικήν. ὃς μουσικῶς ἔπηξε τὴν σύριγγα, ἣν ἕλκος εἶπεν ἐκ τοῦ ἑλκύεσθαι. Σύριγγος δέ τινος ἠράσθη ὁ Πάν, καὶ εἰς μνήμην τοῦ ἔρωτος, ἐπεὶ πρὸ ὥρας ἐξέλιπε τὸν βίον, τὸ μουσικὸν ἐποίησεν ὄργανον, καὶ οὕτως αὐτὸ ἐκάλεσεν. ἰοστεφάνῳ δὲ τῇ ὥρᾳ τοῦ ἔρωτος, ἐν τοῦτῳ γὰρ ἀφείλετο. φασὶ γὰρ ὅτι ἐναργῶς ὁ Πὰν τοῖς Ἕλλησι κατὰ τῶν βαρβάρων συνεπολέμησεν. ἰσαυδέα, ὁμώνυμον τοῦ Περσέως, ὃς τὸν πάππον αὐτοῦ Ἀκρίσιον ἔκτεινεν. Ἀκρισίου δὲ Δαναόυ, ἀφ᾽ ἧς Περσεύς, Τυρία δὲ ἡ Εὐρώπη, ἐπεὶ ἐκεῖ ἦν ὑπὸ Διὸς ἁρπασθεῖσα, ᾧτινι Πανὶ τὴν σύριγγα τὴν ἐπέραστον οὖσαν κτῆμα τῶν ἀγροίκων ὁ Θεόκριτος ἀνέθηκεν ὁ Σιμιχίδας, ὁ υἱὸς Σιμμιχίδου. τυφλαφόρους δὲ τοὺς ἀγροίκους, ἐπεὶ πήρας φέρουσι· πηροὶ δὲ καὶ τυφλοὶ ὁμώνυμοι. πᾶμα δὲ τὸ κτῆμα, Θεόκριτος δὲ Πάριν ἑαυτὸν εἶπεν, ἐπεὶ ὁ Πάρις τὰς θεὰς κρίνας θεόκριτος ὑπό τινων προσηγορεύθη. τὸ δὲ ψυχὰν, πρὸς τὸ χαίροις ἀποδοτέον. βροτοβάμονα δὲ τὸν πετροβάτην, ὑπὸ τῶν λαῶν καὶ τοῦ κατὰ Δευκαλίωνα μύθου. φασὶ γὰρ ὅτι, μετὰ τὸν κατακλυσμὸν σπανιζόντων τῶν ἀνθρώπων, λίθους λαβὼν ὁ Δευκαλίων ἐποίει ἀνθρώπους, ὅθεν αὐτοὺς καὶ λευστοὺς κεκλῆσθαι λέγουσι. στήτας δὲ ὁ οἶστρος τῆς Λυδίας γυναικός. φασὶ γὰρ ὅτι ἡ Ὀμφάλη οἶστρον εἶχε πολὺν περὶ τὸν Πᾶνα. δέττα δὲ ἡ Λυδή. στήτα δὲ ἡ γυνή. Ἡ δὲ Πηνελόπη τὸν Πᾶνα ἔτεκε κατὰ μέν τινας ἐκ τοῦ Ἑρμοῦ, κατὰ δέ τινας ἐκ τῶν μνηστήρων. ὁ Πὰν δὲ κλέπτου πατρὸς ἦν Ἑρμοῦ. ἀπάτωρ δὲ ὁ πολυπάτωρ. λαρνακόγυιον τὸν Πᾶνα, ἐπεὶ χηλόπους ἦν· λάρναξ δὲ ἡ χηλή. ἠδὺ προσᾴδεις, τῇ ἠχοῖ· εἶπε δὲ ἔλλοπα καὶ μέροπα ἄνωθεν ἐκ τοῦ ἐλλείπειν τῇ φωνῇ. καλλιόπα δέ, τῇ τὴν καλὴν ὄπα φερούσῃ. νηλεύστῳ δέ, ἀοράτῳ, ἐκ τοῦ λεύσω τὸ βλέπω καὶ τοῦ νῆ στερητικοῦ μορίου. G.

FINIS SECUNDI VOLUMINIS.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google